μέρος, τό, *pars, portio.* Prot. 322. B: ἧς μέρος πολεμική. Legg. X. 903. B: ὧν καὶ τὸ μέρος ... ἕκαστον τὸ προσῆκον πάσχει καὶ ποιεῖ. Tim. 30. C: τῶν ... ἐν μέρους εἴδει πεφυκότων. Legg. VI. 784. A: μέχρι τρίτου μέρους ὥρας. Pol. I. 344. B: ὧν ἑφ' ἑκάστῳ μέρει ὅταν τις ἀδικήσας μὴ λάθῃ. V. 460. C: ἔν τινι μέρει τῆς πόλεως. VI. 484. D: μηδ' ἐν ἄλλῳ μηδενὶ μέρει ἀρετῆς ὑστεροῦντας. Legg. XII. 943. A: ἐν μέρει τινὶ τεταγμένον. Epin. 991. A: τῷ αὐτῷ μέρει ... ὑπερέχον τε καὶ ὑπερεχόμενον. Vocc. ἐν μέρει etiam ita ponuntur ut accusativi fere amplificatio sint (vern. *für* vel *als*). Theaet. 155. E: οὐκ ἀποδεχόμενοι ὡς ἐν οὐσίας μέρει. Pol. I. 347. A: ὡς ἐν μισθοῦ μέρει εἴρηκας. 348. E: εἰ ἐν ἀρετῆς καὶ σοφίας εἴδης μέρει τὴν ἀδικίαν. II. 370: μὴ ἐν παρέργου μέρει. IV. 424. D: ὡς ἐν παιδιᾶς γε μέρει. Cum art. est *pro mea (sua* al.) *parte* (Conv. 198. C. 199. A.); etiam *vicissim* (Gorg. 474. A. Soph. 207. E. Phil. 50. E. Men. E.). Ἐν μέρει valet quoque *alternis* vel *unum post alterum.* Prot. 347. D: λέγοντάς τε καὶ ἀκούοντας ἐν μέρει ἑαυτῶν κοσμίως. Gorg. 462. A: ἐν τῷ μέρει ἐρωτῶν τε καὶ ἐρωτώμενος. 496. B: ἀλλ' ἐν μέρει ... ἑκάτερον καὶ λαμβάνει καὶ ἀπολλύει. Theaet. 189. E: ἤτοι ἅμα γε ἢ ἐν μέρει. Soph. 242. E. Polit. 265. A. Legg. VII. 819. B: ἐν μέρει καὶ ἐφεξῆς. Cum v. ἕκαστος est *deinceps singuli, unus post alterum,* etiam *unusquisque.* Crat. 410. D: τὸ ... τὰ φυόμενα καὶ τὰ γιγνόμενα ἐν μέρει ἕκαστον προάγον εἰς φῶς. Conv. 214. B: ἕκαστον ἐν μέρει λόγον περὶ Ἔρωτος εἰπεῖν. Pol. V. 468. B. 520. C. IX. 571. C. X. 617. D. Legg. IX. 876. B. XII. 947. B. — Prot. 338. E: παιδείας μέγιστον μέρος εἶναι cet. Polit. 310. C: πλεῖστον τῇ δυσχερείᾳ μέρος ἀπονέμοντες (Lat. *plurimum — tribuentes.* Id. Alc. II. 146. A.). Pol. I. 331. B: μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις συμβάλλεται. (Id. Legg. VIII. 836. D.) IX. 574. A: ἐὰν τὸ αὐτοῦ μέρος ἀναλώσῃ. Tim. 86. D: κατὰ τὸ πολὺ μέρος (*magna ex parte*). 90. C: τούτου μηδὲν μέρος ἀπολείπειν. Critia 119. D: μέρος ἴσον ἀπονέμοντες. Legg. VI. 757. D: κατά τι μέρος (*ex aliqua parte*). IX. 923. D: πρὸς μέρος. Epin. 978. C: εἰς τὸ τῆς νυκτὸς ... μέρος. Κατὰ μέρος, *singulatim.* Theaet. 157. B: δεῖ ... καὶ κατὰ μέρος οὕτω λέγειν καὶ περὶ πολλῶν ἀθροισθέντων. Soph. 246. C. Polit. 278. E. Legg. VIII. 835. A. Etiam est *ordine, alternis.* Legg. II. 671. C: τὸ κατὰ μέρος σιγῆς καὶ λόγου ... ὑπομένειν. — Theaet. 204. A: οὐ ἂν ᾖ μέρη. Pol. VI. 495. A: αὐτὰ τὰ τῆς φιλοσόφου φύσεως μέρη. Tim. 76. E: μέρη καὶ μέλη. Theaet. 204. A: τῶν πάντων μερῶν. Pol. VIII. 552. A: μηδὲν ὄντα τῶν τῆς πόλεως μερῶν. Legg. VII. 795. E: τῶν τοῦ σώματος αὐτοῦ μελῶν καὶ μερῶν. Phil. 12. E:

τοῖς μέρεσιν αὐτοῦ. Phaedr. 246. E: κατὰ ἕνδεκα μέρη κεκοσμημένη. Soph. 235. C: ἐὰν ... κατὰ μέρη τῆς μιμητικῆς δύηται πῃ. Phil. 14. E: ἑκάστου τὰ μέλη τε καὶ ἅμα μέρη διελών. 30. B: κατὰ μεγάλα μέρη. Pol. X. 611. D: τὰ ... παλαιὰ τοῦ σώματος μέρη cet. Tim. 53. D. 88. C. Legg. I. 633. B: κατὰ μεγάλα μέρη καὶ διαφανῆ λέγων περὶ τῶν ἡδονῶν. XI. 934. B: λωφῆσαι μέρη πολλὰ (*multum*) τῆς τοιαύτης ξυμφορᾶς. 935. B: ἢ μεγαλονοίας ἀπώλεσε μέρη πολλά. Κατὰ μέρη, *per partes* vel *singulatim*. Theaet. 182. B: κατὰ μέρη οὖν ἄκουε. Pol. I. 344. B: οἱ κατὰ μέρη ἀδικοῦντες. Tim. 55. E: κατά τε μέρη καὶ καθ' ὅλον. Legg. VII. 824. XII. 944. A. **pars virilis* vel *partes*. Pol. VII. 540. B: ὅταν ... τὸ μέρος ἥκῃ (nos: *wenn die Reihe sie trifft*). Lach. 180. A: ἤδη οὖν ὑμέτερον μέρος συμβουλεύειν καὶ περὶ τούτου τοῦ μαθήματος. Ep. VII. 328. E: μέρος ὅσον ἐπὶ σοὶ γέγονε (*quantum in te fuit*). Conv. 185. D: ἐγὼ ... ἐρῶ ἐν τῷ σῷ μέρει — σὺ δ' ... ἐν τῷ ἐμῷ. Critia 119. C: ἐν ... τῷ καθ' αὑτὸν μέρει. Tim. 17. A: τὸ ὑπὲρ τοῦ ἀπόντος ἀναπληροῦν μέρος. Phaedr. 256. A: τὸ αὐτοῦ μέρος (*pro sua parte s. quantum in ipso est*). Id. Legg. V. 731. B. VI. 762. C. Epin. 985. E. Crit. 45. D: τὸ σὸν μέρος (vern. *von dir aus*), ὅ τι ἂν τύχωσι, τοῦτο πράξουσι. 50. B. 54. C. Ep. VII. 328. E: κατὰ τὸ σὸν μέρος.

μεσεγγυῶ, *apud sequestrem depono*. Legg. XI. 914. D: ἐὰν δὲ τὸ μεσεγγυηθὲν θρέμμα ᾖ.

μεσεύω, *medium quiddam teneo*. Legg. VI. 756. E: ἧς ἀεὶ δεῖ μεσεύειν τὴν πολιτείαν.

μεσημβρία, ἡ, *meridies*. Phaedr. 242. A: ὡς σχεδὸν ἤδη μεσημβρία ἵσταται ... σταθερά. Conv. 220. D: ἤδη ἦν μεσημβρία. Legg. IV. 722. C: μεσημβρία ... γέγονε. Ax. 372. A: ἐκ μεσημβρίας δὲ παρέσει μοι. Phaedr. 259. A: ἐν μεσημβρίᾳ μὴ διαλεγομένους. D. Legg. X. 897. D: τύπτα ἐν μεσημβρίᾳ ἐπαγόμενοι.

μεσημβριάζω, *meridior*. Phaedr. 259. A: ὥσπερ προβάτια μεσημβριάζοντα περὶ τὴν κρήνην εὕδειν.

μεσόγαια, ἡ, *mediterranea regio* (vern. *Binnenland*). Phaed. 111. A: τοὺς ... ἐν μεσογαίᾳ (v. μεσογείᾳ) οἰκοῦντας.

μεσόγεως, ων (attic. i. q. μεσόγαιος), *media in terra positus*. Legg. X. 909. A: ἐν τῷ τῶν μεσόγεων (sic Vat. et Florr. pro v. μεσογείων) δεσμωτηρίῳ.

μεσόθεν, *e medio*. Locr. 95. D. Soph. 244. E: μεσοῦθεν (Parm.).

μέσος, η, ον, *medius*; neutr. *medium* (vern. *die Mitte*). Phil. 43. E: ὁ μέσος βίος. Pol. I. 330. B: μέσος τις γέγονα χρηματιστὴς τοῦ τε πάππου καὶ τοῦ πατρός. VII. 523. C: ὁ μέσος (δάκτυλος). Tim. 62. D: ὁ ... μέσος ἐν αὐτῷ (τ. κόσμῳ) τόπος. Epin. 987. D: ὅτι μέσος ἂν εἴη (ὁ τόπος) χειμώνων τε καὶ τῆς θερινῆς φύσεως. Polit. 303. A: ὥσπερ

ἑνὸς καὶ πλήθους τὸ ὀλίγον μέσον. Parm. 145. B: *τό γε μέσον ἴσον τῶν ἐσχάτων ἀπέχει.* Pol. IV. 443. D: *ὥσπερ ὅρους τρεῖς ἁρμονίας ... νεάτης τε καὶ ὑπάτης καὶ μέσης.* Critia 113. D: *ἐκ μέσης τῆς νήσου.* Gorg. 455. E: *περὶ τοῦ διὰ μέσου τείχους.* Parm. 138. C: *ἐπὶ μέσου βεβηκέναι ἀνάγκη.* Pol. V. 474. D: *τὸν ... διὰ μέσου τούτων ἐμμετρότατα ἔχειν.* Tim. 34. B: *ἐκ μέσου ἴσον.* Legg. VII. 805. E: *τὸ τούτων ... διὰ μέσου.* Alc. II. 139. A: *ἢ ἔστι τι διὰ μέσου τρίτον πάθος —;* Men. 82. C: *τὰς διὰ μέσου (γραμμάς).* Eryx. 401. E: *εἰ ... ἡμῖν τοῦτο ἐκ μέσου ἀναιρεθείη.* Ep. III. 316. C: *ἐν ἡλικίᾳ ... ὄντος μέσῃ.* Phaed. 97. E: *ἐν μέσῳ εἶναι.* Phil. 35. E: *ὅταν ἐν μέσῳ τούτων γίγνηται.* Conv. 203. E: *σοφίας ... καὶ ἀμαθίας ἐν μέσῳ ἐστίν.* 222. D: *ἐν μέσῳ ἐμοῦ τε καὶ σοῦ.* Pol. IV. 427. C: *ἐν μέσῳ τῆς γῆς.* VIII. 558. A: *ἀναστρεφομένων ἐν μέσῳ (in publico).* IX. 572. E: *ταῖς ἐν μέσῳ ταύταις ἐπιθυμίαις.* Tim. 32. B: *πυρός τε καὶ γῆς ... ἐν μέσῳ θείς.* Legg. V. 745. B: *τῆς χώρας ... ἐν μέσῳ.* XII. 968. E: *ἐν κοινῷ καὶ μέσῳ ἔοικεν ἡμῖν κεῖσθαι.* Pol. X. 619. A: *τὸν μέσον ... τῶν τοιούτων βίον αἱρεῖσθαι.* Tim. 36. B: *μέσην πρὸς μέσην ἑκατέραν ἀλλήλαις ... προσβαλών.* Critia 119. C: *κατὰ μέσην τὴν νῆσον.* Prot. 337. E: *συμβῆναι ... εἰς τὸ μέσον* (cf. Pol. VIII. 547. B: *εἰς μέσον ὡμολόγησαν*). 338. A: *μέσον τι ... τεμεῖν* (Id. Ep. VIII. 355. D.). Phaedr. 267. A: *εἰς μέσον οὐκ ἄγομεν —;* Theaet. 162. D: *εἰς τὸ μέσον λέγοντες* (v. *ἄγοντες*. Cf. Legg. VII. 817. D.). 180. E: *ἀμφοτέρων εἰς τὸ μέσον πεπτωκότες.* Soph. 244. E: *μέσον τε καὶ ἔσχατα ἔχει.* Id. Parm. 137. D. Polit. 284. E: *πάνθ' ὁπόσα εἰς τὸ μέσον ἀπωκίσθη τῶν ἐσχάτων.* Parm. 138. C: *τὰ περὶ τὸ μέσον φερόμενα.* Phil. 14. B: *κατατιθέντες ... εἰς τὸ μέσον.* 57. A: *οὗ δ' ἕνεκα ταῦτα προηνεγκάμεθα εἰς τὸ μέσον.* Pol. I. 336. B: *ὁ ... εἰς τὸ μέσον φθεγξάμενος ... ἔφη.* V. 453. D: *ἄν τε εἰς τὸ μέγιστον πέλαγος μέσον (ἐμπέσῃ).* VIII. 550. B: *εἰς τὸ μέσον ἑλκόμενος.* IX. 572. D: *κατέστη εἰς μέσον ἀμφοῖν τοῖν τρόποιν.* Tim. 34. B: *ψυχὴν ... εἰς τὸ μέσον αὐτοῦ θείς.* Critia 112. C: *τὸ μέσον ὑπερηφανίας καὶ ἀνελευθερίας μεταδιώκοντες.* 113. C: *κατὰ ... μέσον πάσης (τῆς νήσου).* 121. C: *κατὰ μέσον παντὸς τοῦ κόσμου.* Legg. II. 664. C: *τὰ τοιαῦτα εἰς τὸ μέσον (in commune) ἀσόμενος.* IV. 719. A: *εἰς τὸ μέσον ... θεῖναι (in medium proferre).* VI. 756. E: *μέσον ἂν ἔχοι μοναρχικῆς καὶ δημοκρατικῆς πολιτείας.* XI. 936. A: *προφέρειν εἰς τὸ μέσον.* Hipp. mai. 298. D: *εἰς μέσον παράγοντες.* Ep. VIII. 353. E: *ἐνεγκὼν εἰς τὸ μέσον.* Phil. 17. A: *τὰ δὲ μέσα αὐτοὺς ἐκφεύγει.* Legg. X. 893. E. Polit. 262. B: *διὰ μέσων ... ἰέναι τέμνοντας.* Charm. 153. B: *ἀναπηδήσας ἐκ μέσων.* Legg. VIII. 834. C: *τελείων τε καὶ ἀβόλων τοῖς μέσοις.* Pol. IV. 432. A: *τοὺς μέσους.* Phil. 50. D: *ἢ μέ-*

σας ποιήσεις νύκτας; Legg. I. 634. A: ἄγοντα εἰς μέσας (τὰς λύπας). Prot. 346. D: ὅτι αὐτὸς καὶ τὰ μέσα ἀποδέχεται. Gorg. 485. D: φεύγοντι τὰ μέσα τῆς πόλεως καὶ τὰς ἀγορᾶς. Phil. 18. C: τὰ φωνήεντα καὶ τὰ μέσα. 31. A. Legg. IV. 715. E: ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων (ὁ θεός). Hipp. mai. 290. C: τὰ μέσα τῶν ὀφθαλμῶν. Parm. 165. B: ἐν ... τῷ μέσῳ ἄλλα μεσαίτερα τοῦ μέσου. Etiam est *mediocris* (Legg. X. 907. A: ἀνθρώπων μέσων) et, ut Lat. *medius*, qui *nullius est partis*. Legg. XI. 929. E: δώδεκα ... ἄνδρας τῶν νομοφυλάκων ... τοὺς μέσους.

μεσότης, ἡ, *medium*. Locr. 99. A: μία μεσότας ἱκανά ἐστιν. Tim. 32. B: δύο ... μεσότητες συναρμόττουσιν. 36. A: μεσότητας. 43. D: τὰς τῶν ἡμιολίων ... μεσότητας. Legg. V. 746. A.

μεσοτομῶ, *per medium divido*. Polit. 265. A: ὅτι δεῖ μεσοτομεῖν ὡς μάλιστα.

μεστός, ή, όν, *plenus, refertus, oppletus*. Pol. I. 330. E: ὑποψίας ... καὶ δείματος μεστὸς γίγνεται. IX. 579. B: φόβων καὶ ἐρώτων μεστός. Legg. VIII. 839. B: πολλοῦ σπέρματος μεστός. X. 908. C: παῤῥησίας ... μεστός. Euth. 6. C: ὁ πέπλος μεστὸς τῶν τοιούτων ποικιλμάτων. Phaed. 83. A: ἀπάτης ... μεστὴ ἡ διὰ τῶν ὀμμάτων σκέψις. Crat. 415. C: κακίας μεστὴ γίγνεται (ψυχή). Conv. 188. A. Pol. IX. 577. E: ταραχῆς καὶ μεταμελείας μεστὴ ἔσται. Phil. 49. A: μεστὸν ἐρίδων (τὸ πλῆθος). Legg. II. 669. E: ὅτι τὸ τοιοῦτόν γε πολλῆς ἀγροικίας μεστὸν πᾶν. X. 906. A: εἶναι ... τὸν οὐρανὸν πολλῶν μεστὸν ἀγαθῶν. Phil. 12. D: ἐλπίδων μεστόν. Conv. 194. B: θεάτρου μεστόν. Pol. VIII. 556. D: ἄσθματός τε καὶ ἀπορίας μεστόν. 561. E: πλείστων ἡθῶν μεστόν. Legg. VI. 782. E. Gorg. 524. E: οὐλῶν μεστὴν (τ. ψυχήν). Phil. 62. C. Pol. VI. 495. D. Alc. II. 146. B: πολλῆς ταραχῆς τε καὶ ἀνομίας μεστὴν εἶναι τὴν τοιαύτην πολιτείαν. Hipp. mai. 290. D: ἔτνους καλοῦ μεστήν (χύτραν). Legg. III. 695. B: τρυφῆς μεστοὶ καὶ ἀνεπιπληξίας. Riv. 134. E: ἀπορίας μεστοὶ ἦμεν ἅπαντες. Theaet. 170. B: πάντα που μεστὰ τἀνθρώπινα ζητούντων διδασκάλους cet. 236. E: μεστὰ ἀπορίας. Pol. VIII. 563. D: μεστὰ ἐλευθερίας. Critia 117. D. Legg. IX. 876. B: θορύβου μεστά, καθάπερ θέατρα. XII. 967. C: μεστὰ ... λίθων καὶ γῆς cet. Ep. VII. 337. D: πάντ' ἔσται σωτηρίας τε καὶ εὐδαιμονίας μεστά. Pol. IX. 572. C: μεστοῖς ὧν ἄρτι διήλθομεν ἐπιθυμιῶν (ἀνδράσι). Ep. VII. 340. B. Phil. 47. E: ἡδονῶν μεστάς. Pol. X. 614. D: μεστὰς αὐχμοῦ τε καὶ κόνεως. Soph. 260. C: φαντασίας πάντα ... μεστὰ εἶναι. Crat. 411. C: μεστὰ εἶναι πάσης φορᾶς cet. Conv. 223. B: θορύβου μεστὰ πάντα εἶναι. Pol. VII. 516. A: αὐγῆς ... ἔχοντα τὰ ὄμματα μεστά. Tim. 84. B: μεστὰ (v. μετὰ) ἅλμης. Ep. VII. 329. B: στάσεως ... μεστὰ ξύμπαντα.

μεστῶ, repleo. Legg. I. 649. B: *παῤῥησίας ... μεστοῦται καὶ ἐλευθερίας.* IV. 713. C: *μὴ οὐχ ὕβρεώς τε καὶ ἀδικίας μεστοῦσθαι.*

μεσῶ, in medio sum, ad medium perveni. Phaedr. 241. D: *ᾠμην γε μεσοῦν αὐτόν (τὸν λόγον).* Conv. 175. C: *ἀλλὰ μάλιστα σφᾶς μεσοῦν δειπνοῦντας.* Polit. 265. B: *κατ' ἀρχὰς ... καὶ μεσοῦσιν ἅμα τῆς πορείας χαλεπὸν ἂν ἦν ἡμῖν τὸ πρόσταγμα.* Etiam *medius sum* vel *medium teneo* (c. genit.). Pol. X. 618. B: *τὰ δὲ καὶ μεσοῦν* (v. *μέσον*) *τούτων.*

μέσως, mediocriter. Prot. 346. E: *καὶ εἰ μέσως ἔλεγες ἐπιεικῆ καὶ ἀληθῆ.* Phaed. 113. D: *οἳ ... ἂν δόξωσι μέσως βεβιωκέναι.*

μετά, c. genit. *cum* et *in* (vern. *mit, bei, in*). Prot. 315. B: *οἱ μετ' αὐτοῦ.* 317. E: *τοὺς μετὰ τοῦ Προδίκου.* 325. A: *μετὰ τούτου* (seq. *ἄνευ τούτου*). Phaedr. 252. C: *ὅσοι ... μετ' ἐκείνου περιεπόλουν.* Phaed. 69. B: (*μὴ*) *ἀληθὴς ἀρετὴ ἦ μετὰ φρονήσεως* (*si cum sapientia coniuncta sit.* Seq. *χωριζόμενα φρονήσεως*). Conv. 179. A: *μαχόμενοι ... μετ' ἀλλήλων.* Pol. I. 330. A: *μετὰ πενίας.* E: *ζῇ μετὰ κακῆς ἐλπίδος.* II. 360. B: *μετ' ἐκείνης ἐπιθέμενον τῷ βασιλεῖ.* IV. 445. B: *οὐ βιωτὸν εἶναι οὐδὲ μετὰ πάντων σιτίων ... καὶ παντὸς πλούτου* cet. Apol. 34. C: *ἱκέτευσε ... μετὰ πολλῶν δακρύων.* — *Per* (vern. *mit Hülfe, durch*). Phaed. 66. E: *εἰ ... μὴ οἷόν τε μετὰ τοῦ σώματος μηδὲν καθαρῶς γνῶναι.* Theaet. 180. C: *μετὰ ποιήσεως ἐπικρυπτομένων τοὺς πολλούς.* Soph. 265. E: *μετὰ λόγου τε καὶ ἐπιστήμης θείας (τὴν φύσιν αὐτὰ γεννᾶν).* Phil. 26. D: *ἐκ τῶν μετὰ τοῦ πέρατος ἀπειργασμένων μέτρων.* Pol. VIII. 560. D: *ὑπερορίζουσι μετὰ πολλῶν καὶ ἀνωφελῶν ἐπιθυμιῶν.* IX. 571. B: *κολαζόμεναι ... ὑπό τε τῶν νόμιων καὶ τῶν βελτιόνων ἐπιθυμιῶν μετὰ λόγου.* 575. C: *τότε οὗτοί εἰσιν οἱ τὸν τύραννον γεννῶντες μετὰ δήμου ἀνοίας.* — Saepius exprimi potest praep. *e.* Phaed. 92. C: *ὅδε ... γάρ μοι γέγονεν ... μετὰ εἰκότος τινὸς καὶ εὐπρεπείας.* Phil. 37. E: *ἔοικέ γε ἡδονὴ πολλάκις οὐ μετὰ δόξης ὀρθῆς, ἀλλὰ μετὰ ψεύδους ἡμῖν γίγνεσθαι.* 38. A. Pol. V. 461. B: *ὑπὸ σκότου μετὰ δεινῆς ἀκρατείας* (v. *ἀκρασίας*) *γεγονώς.* — Est *in* vel *inter.* Phaedr. 250. D: *μετ' ἐκείνων (φασμάτων) ἐλαμπεν ὅν* (v. *ἰόν*). Phaed. 81. A: *μετὰ θεῶν διάγουσα.* Pol. II. 359. E: *καθήμενον ... μετὰ τῶν ἄλλων.* Legg. X. 909. A: *οἰκείτω μετὰ τῶν σωφρόνων.* — Ita ponitur ut adiectivo vel adverbio possit exprimi (proprie: *ita ut sequare* vel *coniunctus cum* —). Phaedr. 249. A: *παιδεραστήσαντος μετὰ φιλοσοφίας* (nos: *philosophisch*). Gorg. 526. C: *ὁσίως βεβιωκυῖαν καὶ μετ' ἀληθείας.* Phaed. 66. B: *μετὰ τοῦ λόγου ἐν τῇ σκέψει* (nos: *bei der vernünftigen Forschung*). Theaet. 173. A: *οὓς (κινδύνους καὶ φόβους) οὐ δυναμενοι μετὰ τοῦ δικαίου καὶ ἀληθοῦς (ita ut iustitiam et veritatem sequantur)*

ὑποφέρειν. Polit. 294. A: τὸν μετὰ φρονήσεως βασιλικόν. 295. E: ὁ μετὰ τέχνης γράψας. 297. A: τὸ μετὰ νοῦ καὶ τέχνης δικαιότατον ἀεὶ διανέμοντες τοῖς ἐν τῇ πόλει. 300. E: τὴν τοῦ ἑνὸς μετὰ τέχνης ἄρχοντος πολιτείαν. Conv. 188. A: ὁ μετὰ τῆς ὕβρεως Ἔρως. Pol. VIII. 548. B: διὰ τὸ τῆς ἀληθινῆς Μούσης τῆς μετὰ λόγων τε καὶ φιλοσοφίας ἡμελημένναι. Tim. 51. E: τὸ μὲν ἀεὶ μετὰ ἀληθοῦς λόγου, τὸ δὲ ἄλογον. — Saepius verti potest *e* (i. q. *secundum*). Apol. 32. B: μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν ἢ μεθ' ὑμῶν γενέσθαι (*vobiscum facere*) cet. — Ponitur ita ut copula *καί* reddi possit. Phaedr. 253. D: τιμῆς ἐραστὴς μετὰ (i. q. καὶ) σωφροσύνης cet. E: μάστιγι μετὰ κέντρων (i. q. καὶ κέντροις) μόγις ὑπείκων. 255. B: (ὅταν) πλησιάζῃ μετὰ τοῦ ἅπτεσθαι. Theaet. 176. B. Pol. VII. 537. D: ἐπ' αὐτὸ τὸ ὂν μετ' ἀληθείας ἰέναι. IX. 591. B: σωφροσύνην τε καὶ δικαιοσύνην μετὰ φρονήσεως κτωμένη, ᾗ σῶμα ἰσχύν τε καὶ κάλλος μετὰ ὑγιείας λαμβάνον. Tim. 28. A: τὸ μὲν ... νοήσει μετὰ λόγου περιληπτόν, τὸ δ' αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου. 60. A: τὸ μὲν τῆς ψυχῆς μετὰ τοῦ σώματος θερμαντικὸν οἶνος. — Pro simpl. genit. Phil. 15. A: ἡ πολλὴ σπουδὴ μετὰ διαιρέσεως (*minium distinguendi studium*) ἀμφισβήτησις γίγνεται. — Cum accus. est *post*. Polit. 258. B: μετὰ τὸν σοφιστὴν ἀναγκαῖον ... τὸν πολιτικὸν ἄνδρα διαζητεῖν νῷν. Parm. 148. E: ἢ ἂν μετ' ἐκείνην ἢ ἕδραν cet. Phil. 16. D: μετὰ μίαν δύο ..., σκοπεῖν. Pol. VII. 537. B: μετὰ ... τοῦτον τὸν χρόνον. Legg. I. 646. C: μετ' ὀλίγον ὕστερον. Sic praec. ponitur c. pron. demonstr., μετὰ τοῦτο, μετὰ ταῦτα et c. art. τό (ut Tim. 42. D. τὸ δὲ μετὰ τὸν σπόρον): τὸ μ. τοῦτο, τὸ μ. ταῦτα et τὰ μ. ταῦτα, *postea, deinde, deinceps*; etiam *in posterum* (Critia 120. A: τό τε αὖ μετὰ τοῦτο μηδὲν τῶν γραμμάτων ἑκόντες παραβήσεσθαι). Idque etiam instar adiectivi ponitur (Soph. 257. A: οὕτω πειθέτω τὰ μετὰ ταῦτα. Phil. 34. C: λέγωμεν ... ἤδη τὸ μετὰ ταῦτα. Sic etiam 29. D. scribendum videtur ἀλλὰ τῷ μετὰ τοῦτο ἕξῆς ἕπου pro ἀλλὰ τὸ cet.), et c. art. et subst. iungitur. Soph. 244. C: ἡ μετὰ τοῦτ' ... ἀπόκρισις. Legg. I. 646. C: τῆς μετὰ ταῦτα ὠφελείας ἕνεκα. V. 739. A: ἡ δὴ τὸ μετὰ τοῦτο φορὰ ... τῆς τῶν νόμων κατασκευῆς cet. Ep. VII. 346. A: τῇ μετὰ ταῦτα ἐλθὼν ἡμέρᾳ. — Post praep. μετά etiam simplex nomen pro plena oratione ponitur. Phaed. 61. B: μετὰ δὲ τὸν θεόν (*carmine s. hymno in deum contexto*). Polit. 309. C: μετὰ δὲ τὸ θεῖον. Legg. V. 746. D: μετὰ τὴν δόξαν τῆς ... διανομῆς (*quum visum fuerit — distribuere*). VII. 794. C: μετὰ δὲ τὸν ἑξέτη καὶ τὴν ἑξέτιν (h. e. *sexto aetatis anno exacto*). In tempore etiam durante ponitur, ut μεθ' ἡμέραν, *interdiu*. Phaed. 251. E. Pol. VII. 516. B. Critia 117. E.

μεταβαίνω, transeo, transgredior; convertor. Parm. 162. D: (*εἰ*) *μήτε μεταβαίνει.* Crat. 439. E: *δῆλον ὅτι οὐδὲν μεταβαίνει.* Pol. VIII. 550. D: *ὡς μεταβαίνει ... ἐκ τῆς τιμαρχίας εἰς τὴν ὀλιγαρχίαν.* Legg. V. 744. C: (*ὅταν*) *μεταβαίνωσιν εἰς τὸ προσῆκον ἕκαστοι ἑαυτοῖς τίμημα.* Parm. 162. C: *οὐκ ἄρα τῷ γε μεταβαίνειν κινοῖτ' ἄν.* Phaedr. 262. A: *κατὰ σμικρὸν μεταβαίνων.* Legg. III. 676. A: *τὴν τῶν πόλεων ἐπίδοσιν ἐπ' ἀρετὴν μεταβαίνουσαν ἅμα καὶ κακίαν.* X. 893. D: *μεταβαίνοντα εἰς ἕτερον ἀεὶ τόπον.* Parm. 165. A: *οὐ γὰρ ἂν μετέβαινεν ἐκ μείζονος εἰς ἔλαττον φαινόμενος.* Phaedr. 265. C: *ὡς ἀπὸ τοῦ ψέγειν πρὸς τὸ ἐπαινεῖν ἔσχεν ὁ λόγος μεταβῆναι.* Pol. VIII. 547. C: *μεταβᾶσα.* Ib. *μεταβήσεται μὲν δὴ οὕτω.* **excedo*; etiam *digredior.* Parm. 146. A: *ἐκ τούτου μὴ μεταβαῖνον.* Crat. 438. A: *ὅθεν δεῦρο μετέβημεν.* Men. 95. E: *ὀλίγον μεταβάς* (Bekk. coni. *καταβάς*). **exsisto, prodeo.* Pol. VIII. 569. C: *ὡς μεταβαίνει τυραννὶς ἐκ δημοκρατίας.* V. 449. B: *ὡς μοι ἐφαίνοντο ἕκασται ἐξ ἀλλήλων μεταβαίνειν.*

μεταβάλλω, converto; muto. Theaet. 167. A: *ὁ μὲν ἰατρὸς φαρμάκοις μεταβάλλει, ὁ δὲ σοφιστὴς λόγοις.* Pol. II. 381. B: *πότερον ... ἐπὶ τὸ βέλτιόν τε καὶ κάλλιον μεταβάλλει ἑαυτόν —;* Tim. 58. C: *τὴν τῶν τύπων μεταβάλλει στάσιν.* Legg. X. 903. D: *μεταβάλλει παντοίας μεταβολάς.* Crat. 399. A: (*ὅτι*) *τὰς ὀξύτητας μεταβάλλομεν.* Pol. II. 381. B: *ἀλλ' ἆρα αὐτὸς αὐτὸν μεταβάλλοι ἂν καὶ ἀλλοιοῖ;* Theaet. 181. C: *ὅταν τι χώραν ἐκ χώρας μεταβάλλῃ.* Soph. 234. D: *μεταβάλλειν τὰς τότε γενομένας δόξας.* Pol. II. 383. A: *τῷ μεταβάλλειν ἑαυτούς.* Legg. IV. 711. C: *μεταβάλλειν ... τοὺς νόμους.* VI. 782. A: *μεταβάλλειν αὐτῶν ... μεταβολάς.* Ep. VIII. 354. C: *εἰς βασιλέως ... εἶδος πειρᾶσθαι μεταβάλλειν* (*τὴν τυραννίδα*). Pol. VI. 508. D: *ἄνω καὶ κάτω τὰς δόξας μεταβάλλον.* Tim. 58. C: *μεταβάλλον ... τὸ μέγεθος.* Crat. 404. C: *μεταβάλλοντες* (*τὸ ὄνομα*). Phil. 46. E. Pol. III. 404. A: *πολλὰς μεταβολὰς ἐν ταῖς στρατείαις μεταβάλλοντας.* Phaed. 96. A: *πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλον σκοπῶν* cet. Polit. 269. A: *μετέβαλεν αὐτὸ ἐπὶ τὸ νῦν σχῆμα.* Legg. IV. 709. A: *μετέβαλε νόμους.* Phil. 33. E: *τὰ ... ὀνόματα μετάβαλε μόνον.* Legg. X. 894. E: *ὅταν ἕτερον ἄλλο ἡμῖν μεταβάλῃ.* Idem 904. D. repon. videtur. IV. 711. B: *μεταβαλεῖν βουληθέντι πόλεως ἤθη.* Prot. 318. B: *μεταβαλὼν τὴν ἐπιθυμίαν.* Soph. 242. D: *μεταβαλὼν ἐμαυτὸν ἄνω καὶ κάτω.* Legg. XII. 944. E: *εἰς γυναῖκα ἐξ ἀνδρὸς μεταβαλοῦσα.* D: *Καινέα ... ἐκ γυναικὸς μεταβαλόντα* (*θεὸν*) *εἰς ἀνδρὸς φύσιν.* X. 888. B. Conv. 174. B: *μεταβαλόντες.* Legg. III. 682. E: *μεταβαλόντες ὄνομα.* Alc. I. 135. D: *μεταβαλεῖν τὸ σχῆμα.* Ep. VIII. 354. A. **permutando* vel *vicissim sumo*, et in univ. *sumo, eligo, nanciscor*, (ita

tamen ut notio mutationis factae subiecta sit). Pol. IV. 424. C: *εἶδος ... καινὸν μουσικῆς μεταβάλλειν εὐλαβητέον.* VII. 535. D: *χωλὸς δὲ καὶ ὁ τἀναντία τούτου μεταβεβληκὼς τὴν φιλοπονίαν.* Legg. X. 904. D: *μετέβαλε τόπον ἄγιον ὅλον.* Phaedr. 241. A: *μεταβαλὼν* (al. *μεταλαβὼν*) *ἄλλον ἄρχοντα ἐν αὑτῷ.* Crat. 405. D: *μεταβαλόντες* (v. *μεταβάλλοντες*) *ἀντὶ τοῦ ō ᾱ.* Recipr. vel intrans., ut Lat. *verto*, est *me converto, mutor;* hinc etiam c. praep. *εἰς transeo*, c. praep. *ἐκ evado* vel *exsisto.* Ax. 370. C: *ὥστε οὐκ εἰς θάνατον, ἀλλ' εἰς ἀθανασίαν μεταβάλλεις.* Parm. 156. E: *ἐκ ταύτης τὸ ... κινούμενον μεταβάλλει ἐπὶ τὸ ἑστάναι.* Pol. VIII. 545. D: *ὅτι πᾶσα πολιτεία μεταβάλλει ἐξ αὐτοῦ τοῦ ἔχοντος τὰς ἀρχάς.* 553. A: *ἆρ' οὖν ὧδε μάλιστα εἰς ὀλιγαρχικὸν ἐκ τοῦ τιμοκρατικοῦ ἐκείνου μεταβάλλει;* 555. B: *οὐκοῦν ... μεταβάλλει ... τρόπον τινὰ τοιόνδε ἐξ ὀλιγαρχίας εἰς δημοκρατίαν* cet. 561. A: *ἆρ' οὐχ οὕτω πως ... μεταβάλλει ἐκ τοῦ ἐν ἀναγκαίοις ἐπιθυμίαις τρεφομένου εἰς τὴν τῶν μὴ ἀναγκαίων ... ἡδονῶν ἐλευθέρωσίν τε καὶ ἄνεσιν;* 562. A: *ὅτι ... ἐκ δημοκρατίας μεταβάλλει* (*τυραννίς*), *σχεδὸν δῆλον.* Legg. X. 904. C: *μεταβάλλει ... πάνθ' ὅσα μέτοχά ἐστι ψυχῆς.* Crat. 439. E: *πῶς ἂν τοῦτό γε μεταβάλλοι —;* Parm. 156. C: *ὅταν ἑστὸς ἐπὶ τὸ κινεῖσθαι μεταβάλλῃ.* Soph. 255. A: *ἀναγκάσει μεταβάλλειν αὖ θᾶτερον ἐπὶ τοὐναντίον τῆς αὑτοῦ φύσεως.* Conv. 186. D: *ὁ μεταβάλλειν ποιῶν.* Pol. II. 381. E: *ἀλλ' ἆρα ... αὐτοὶ μὲν οἱ θεοί εἰσιν οἷοι μὴ μεταβάλλειν —;* VIII. 564. A: *εἰς δουλείαν μεταβάλλειν.* IX. 588. C: *δυνατοῦ μεταβάλλειν.* Ax. 365. C: *εἰς εὐνὰς ... μεταβάλλων.* D. Polit. 270. D: *μεταβάλλον ... πάλιν ἐπὶ τοὐναντίον.* Parm. 156. D: *ὡς ἐξ ἐκείνου μεταβάλλον εἰς ἑκάτερον.* Legg. X. 894. A: *μεταβάλλον ... οὕτω ... γίγνεται πᾶν.* Tim. 79. E: *μεταβαλλούσης ... τῆς θερμότητος.* 66. E: *μεταβάλλοντος ... ὕδατος εἰς ἀέρα* cet. Pol. X. 620. A: *ἰδεῖν ... κύκνον μεταβάλλοντα* (*contra se convertentem*) *εἰς ἀνθρωπίνου βίου αἵρεσιν.* Legg. VI. 760. D: *εἰς τὸν εὐώνυμον ἀεὶ μεταβάλλοντες τόπον.* X. 904. C: *μεταβάλλοντα ... φέρεται* cet. Ep. VII. 326. D: *εἰς τυραννίδας μεταβαλλούσας μηδέποτε λήγειν.* Pol. X. 620. D: *τὰ δὲ δίκαια εἰς τὰ ἥμερα μεταβάλλοντα.* Polit. 273. E: *καὶ τἄλλα τε πάντα μετέβαλλεν.* Pol. VIII. 559. E: *ὥσπερ ἡ πόλις μετέβαλλε.* Polit. 274. B: *δι' ἃς αἰτίας μεταβέβληκε.* Legg. XII. 948. C: *μεταβεβληκυιῶν ... τῶν περὶ θεοὺς δοξῶν ἐν τοῖς ἀνθρώποις.* Tim. 60. B: *μετέβαλεν εἰς ἀέρος ἰδέαν.* Legg. IV. 710. D: *τάχιστ' ἂν μεταβαλεῖν εἰς τοῦτο ἐκ τοῦ τοιούτου.* Phaedr. 241. A: *ἴεται φυγῇ μεταβαλών.* Pol. V. 473. B: *τίνος σμικροτάτου μεταβαλόντος.* Tim. 42. B: *εἰς γυναικὸς φύσιν ... μεταβαλοῖ* (v. *μεταβάλλοι*). C. Ep. VIII. 353. E: *Φοινίκων ... μεταβαλοῦσα εἴς τινα δυναστείαν καὶ κράτος.* — Partt. *μεταβάλλων* et *μεταβαλών* etiam adverbii partes agunt,

ut vern. *umgekehrt*, i. q. *ex contrario* vel *contra*; etiam *vicissim*. Parm. 128. A: *μεταβάλλων* (v. *μεταβαλὼν*) ... *ἡμᾶς* (nos: *uns dagegen*) *πειρᾶται ἐξαπατᾶν ὡς ἕτερόν τι λέγων*. Theaet. 166. D: *ὃς ἄν τινι ἡμῶν, ᾧ φαίνεται καὶ ἔστι κακά, μεταβάλλων ποιήσῃ ἀγαθὰ φαίνεσθαί τε καὶ εἶναι* (nos: *dass es ihm umgekehrt als gutes erscheine*). Polit. 307. B: *μεταβάλλοντες ... ψέγομεν*. Phil. 51. A: *ἐγὼ δὴ πειράσομαι μεταβαλὼν σημαίνειν ὑμῖν αὐτάς*. Conv. 204. E: *εἴ τις μεταβαλὼν ἀντὶ τοῦ καλοῦ τῷ ἀγαθῷ χρώμενος πυνθάνοιτο*. Lys. 213. D. Gorg. 480. E: *τοὐναντίον δέ γε αὖ μεταβαλόντα εἰ ἄρα δεῖ τινὰ κακῶς ποιεῖν*. Phil. 21. D: *τὸν ... τοῦ νοῦ μεταβαλόντες* (v. *μεταλαβόντες*) *αὖ βίον ἴδωμεν*. — Pass. et med. *mutor* et *me converto*. Gorg. 481. E: *μεταβαλλόμενος* (*mutata sententia*) *λέγεις* cet. Alc. II. 147. E: *μεταβαλλόμενος ἄνω καὶ κάτω* (*in omnes te partes convertens*). Gorg. 481. E: *ἄνω καὶ κάτω μεταβαλλομένου*. Legg. X. 894. C: *μεταβαλλομένην ὑφ' ἑτέρου*. Phil. 42. B: *μεταβαλλόμεναι*. Tim. 92: *νοῦ καὶ ἀνοίας ἀποβολῇ καὶ κτήσει μεταβαλλόμενα*. Legg. II. 660. B: *οὐχ ὑπὸ νόμων μεταβαλλόμενα*. 665. C. Ep. III. 318. E: *εἰ μετεβαλόμην*. II. 315. A: *μόνος ... οὐδὲν μετεβάλετο περὶ τῆς σῆς καὶ ἐμῆς συνουσίας*. — Med. est quoque *permuto* (ut merces), *mercaturam facio*. Legg. VIII. 849. D: *οἴνου τε μεταβαλλόμενος καὶ σίτου πρᾶσιν*. Soph. 223. D: *τὴν ... τὰ ἀλλότρια ἔργα μεταβαλλομένην μεταβλητικήν* (*διαιρούμενοι*). — Verb. Theaet. 167. A: *μεταβλητέον δ' ἐπὶ θάτερα*. Ib. *ἐπὶ τὴν ἀμείνω* (*ἕξιν*) *μεταβλ*. Pol. III. 413. B.

μετάβασις, ἡ, conversio, mutatio. Pol. VIII. 547. C: *δοκεῖ μοι ... αὕτη ἡ μετάβασις ἐντεῦθεν γίγνεσθαι*. Legg. V. 736. D: *σμικρὰ μετάβασις εὐλαβήσ*. E: *ταύτης ... σαθρᾶς οὔσης τῆς μεταβάσεως*. III. 676. C: *τὴν πρώτην τῶν πολιτειῶν γένεσιν καὶ μετάβασιν*. X. 894. A: *ὁπόταν ... εἰς τὴν δευτέραν ἔλθῃ μετάβασιν*.

μεταβιβάζω, transfero, traduco. Phaedr. 262. B: *μεταβιβάζειν κατὰ σμικρόν*. Legg. VII. 795. C: *ὁπόταν αὐτόν τις μεταβιβάζων ἐπὶ θάτερα ἀναγκάζῃ διαπονεῖν*. **deflecto, muto*. Gorg. 517. B: *μεταβιβάζειν τὰς ἐπιθυμίας*. Legg. V. 736. D: *ἐν πολλῷ χρόνῳ σμικρὸν μεταβιβάζουσιν*.

μεταβλητικός, ή, όν, ad permutationem spectans; fem. et neutr. *permutandi ars* vel *permutatio* (vern. *das Umsetzen* vel *Tauschen*). Soph. 219. D: *τὸ ... μεταβλητικὸν ὂν διά τε δωρεῶν καὶ ἀγοράσεων καὶ μισθώσεων*. 223. D: *τὴν ... τὰ ἀλλότρια ἔργα μεταβαλλομένην μεταβλητικήν*. 224. D: *τὸ κτητικῆς ... μεταβλητικόν* cet.

μεταβολή, ἡ, mutatio, transitio; *conversio*. Phaedr. 251. A: *ἰδόντα ... αὐτὸν ... μεταβολή τε καὶ ἰδρὼς καὶ θερμότης ἀῄθης λαμβάνει*. Parm. 162. C: *μεταβολὴ δὲ κίνησις*. Pol. IV. 434. B: *ἡ τριῶν ... ὄντων γενῶν ... μεταβολὴ εἰς*

ἄλληλα. VIII. 553. D: μεταβολὴ ... ἐκ φιλοτίμου νέου εἰς φιλοχρήματον. Legg. X. 895. A: ἡ τῆς αὐτῆς αὐτὴν κινησάσης μεταβολή. Apol. 40. C: ἢ ... μεταβολή τις τυγχάνει οὖσα (τὸ τεθνάναι). Ax. 366. B: κακοῦ τινός ἐστιν εἰς ἀγαθὸν μεταβολή. Ep. VII. 324. C. Polit. 269. A: περὶ τῆς μεταβολῆς δύσεώς τε καὶ ἀνατολῆς ἡλίου cet. D: μεταβολῆς ἀμοίρῳ γίγνεσθαι. Crat. 426. C: ἀπὸ τῆς τοῦ ῥ μεταβολῆς. Pol. VIII. 565. D: τίς ἀρχὴ ... μεταβολῆς ἐκ προστάτου ἐπὶ τύραννον. Legg. III. 676. C. Pol. VI. 503. A: μήτ' ἐν ἄλλῃ μηδεμιᾷ μεταβολῇ. Legg. III. 681. D: ἐν ταύτῃ τῇ μεταβολῇ τῆς πολιτείας οἰκήσουσιν. Phaed. 78. D: μή ποτε μεταβολὴν καὶ ἠντινοῦν ἐνδέχεται; Polit. 271. C: τὴν ... τῶν ἄστρων τε καὶ ἡλίου μεταβολήν. Parm. 162. C: μεταβολὴν ἐκ τοῦ εἶναι ἐπὶ τὸ μὴ εἶναι ἔχον. Pol. III. 388. E: ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ τὸ τοιοῦτον. VIII. 563. E: τὸ ἄγαν τι ποιεῖν μεγάλην φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι. X. 619. D: μεταβολὴν τῶν κακῶν καὶ τῶν ἀγαθῶν. Legg. X. 895. B: πρεσβυτάτην καὶ κρατίστην μεταβολὴν πασῶν. Phil. 43. B: αἱ μεταβολαὶ κάτω τε καὶ ἄνω γιγνόμεναι. Pol. III. 397. B: σμικραὶ γὰρ αἱ μεταβολαί. C: διὰ τὸ παντοδαπὰς μορφὰς τῶν μεταβολῶν ἔχειν. Legg. VII. 797. B: μεταβολαῖς τε ἄλλαις ἀεὶ χρώμενα cet. Epin. 981. C: ἐν περιτταῖς τε καὶ ἀρτίαις ἅμα μεταβολαῖς. Polit. 270. C: μεγίστας ... μεταβολάς. Parm. 156. E. Pol. III. 397. B: τὸ μὲν σμικρὰς τὰς μεταβολὰς ἔχει. Tim. 82. B: πάσας πάντῃ μεταβολὰς δέχεται. Legg. V. 732. D: τῶν ... νῦν παρόντων ἐπὶ τὸ βέλτιον μεταβολάς. VII. 816. A. Cum v. μεταβάλλειν (vid. h.).

μεταβουλεύομαι, *consilium muto.* Epin. 982. D: ἀλλ' οὐ μεταβουλευόμενον ἄνω καὶ κάτω.

μεταγιγνώσκω, *me poenitet.* Phaedr. 231. A: τοῖς δὲ οὐκ ἔστι χρόνος ἐν ᾧ μεταγνῶναι προσήκει.

μεταδίδωμι, *communico, participem aliquem facio* (c. genit. rei eoque partitionis indice, vern. *von etwas — mittheilen*, rarius c. accus.). Pol. II. 369. C: μεταδίδωσι ... ἄλλος ἄλλῳ. Lys. 211. C: τί ... ἡμῖν ... οὐ μεταδίδοτον τῶν λόγων; 204. A: ὧν ἡδέως ἄν σοι μεταδιδοῖμεν. Crat. 426. B: καὶ ἐμοὶ μεταδιδόναι. Pol. VI. 503. D. VII. 519. E: ποιῶν μεταδιδόναι ἀλλήλοις τῆς ὠφελείας. Legg. IV. 715. A: ὥστε ἀρχῆς μηδ' ὁτιοῦν μεταδιδόναι τοῖς ἡττηθεῖσι. VI. 768. A: τῷ πλήθει μεταδιδόναι τῆς κρίσεως. Alc. I. 134. C: δύναιτο δ' ἄν τις μεταδιδόναι ὃ μὴ ἐχει (libri plures ἔχοι). Epin. 981. E: δυοῖν αὐτοῖς μοιρῶν τὴν ἑτέραν χρὴ δόξῃ μεταδιδόναι σχεδόν. Gorg. 520. C: μεταδιδοὺς τοῦ τάχους. Legg. V. 730. E: τὸν ... μεταδιδόντα. III. 694. A: μεταδιδόντες ἀρχομένοις. Ep. VII. 336. E: ᾧ καὶ βραχὺ δόξης ὀρθῆς μετέδωκε θεία τις τύχη. Conv. 213. D: νῦν δέ μοι ... μετάδος τῶν ταινιῶν. Phaed. 63. C: ἢ κἂν ἡμῖν μεταδοίης;

Men. 89. E: *εἰκότως δ' ἂν μεταδοίμεν ἄν.* Ib. *ᾧ μεταδῶμεν τῆς ζητήσεως.* Pol. VIII. 557. A: (*ὅταν*) *τοῖς ... λοιποῖς ... ἐξ ἴσου μεταδῶσι πολιτείας τε καὶ ἀρχῶν.* Crit. 51. C: *μεταδόντες ἁπάντων ὧν* cet. Crat. 426. B: *τούτων οὖν σοι μεταδώσω.* Pol. VII. 539. D: *οἷς τις μεταδώσει τῶν λόγων.* Phaedr. 234. A: *οἵτινες πρεσβυτέρῳ γενομένῳ τῶν σφετέρων ἀγαθῶν μεταδώσουσιν.* Pol. II. 371. B. Verb. Alc. I. 134. B: *ἀρετῆς σοι μεταδοτέον τοῖς πολίταις.* Lys. 211. C.

μεταδιώκω, persequor, sector; consector; etiam *investigo, inquiro.* Phil. 47. B: *ταύτας ... παντάπασιν ἀεὶ μεταδιώκει* cet. Polit. 307. C: *ἐὰν μεταδιώκωμεν.* Phil. 44. D: *μεταδιώκωμεν δὴ τούτους ὥσπερ ξυμμάχους κατὰ τὸ τῆς δυσχερείας αὐτῶν ἴχνος.* Tim. 46. D: *τὰς τῆς ἐμφρονος φύσεως αἰτίας πρώτας μεταδιώκειν.* Polit. 310. D: *τὴν αὐτοῦ μεταδιῶκον φύσιν.* Phil. 23. E: *μεταδιώκοντι (μοι).* Tim. 59. C: *τὴν τῶν εἰκότων μύθων μεταδιώκοντα ἰδέαν.* Critia 112. C: *τὸ μέσον ὑπερηφανίας καὶ ἀνελευθερίας μεταδιώκοντες* (v. *διώκοντες*). Legg. IX. 866. E: *μεταδιώκοντες τὴν τιμωρίαν.* VIII. 835. B: *καθ' ἃ τοὺς δευτέρους δεῖ μεταδιώκοντας νομοθετεῖν.* Soph. 224. E: *τὸ νῦν μεταδιωκόμενον γένος.* Pol. VII. 531. C. Soph. 225. E: *τὸν ... μεταδιωκόμενον ὑφ' ἡμῶν σοφιστήν.* Phil. 32. D: *τὸ νῦν μεταδιωκόμενον.* Tim. 64. B: *μεταδιωκτέον πάντα ὅσα ἐπινοοῦμεν ἑλεῖν.* 72. E.

μεταδοξάζω, sententiam muto, in sententia fluctuo. Soph. 265. D: *ἐγὼ μὲν ἴσως διὰ τὴν ἡλικίαν πολλάκις ἀμφότερα μεταδοξάζω.* Pol. III. 413. C: *οἳ ἂν μεταδοξάζωσιν.* B: *μεταδοξάσαι.*

μεταδόρπια, τά, bellaria. Critia 115. B: *ὅσα ... παραμύθια πλησμονῆς μεταδόρπια ἀγαπητὰ κάμνοντι τίθεμεν.*

μεταθέω, persequor, investigo. Parm. 128. C: *ὥσπερ γε αἱ Λάκαιναι σκύλακες εὖ μεταθεῖς τε καὶ ἰχνεύεις τὰ λεχθέντα.* Lach. 194. B: *οὐκοῦν ... τὸν ἀγαθὸν κυνηγέτην μεταθεῖν χρὴ καὶ μὴ ἀνιέναι;* Soph. 226. A: *τοιόνδε τι μεταθέοντας ἴχνος αὐτοῦ.* Polit. 301. E: *μεταθέοντας τὰ τῆς ἀληθεστάτης πολιτείας ἴχνη.*

μεταίτιος, ὁ ἡ, subst. *auctor.* Legg. X. 615. B: *ἢ τινος ἄλλης κακουχίας μεταίτιοι.*

μετακαλῶ, voco. Ax. ad fin. *ὁπόθεν δεῦρο μετεκλήθην.*

μετάκειμαι, transpositus sum. Crat. 394. B: *εἴ τι πρόσκειται γράμμια ἢ μετάκειται* cet.

μετακινῶ, transpono. Legg. X. 894. A: *μεταβάλλον ... καὶ μετακινούμενον γίγνεται πᾶν.*

μετακομίζω, traduco. Legg. X. 904. D: *μετακομισθεῖσα εἰς ἀμείνω τινὰ τόπον ἕτερον.*

μετακόσμησις, ἡ, status conversio. Legg. X. 892. A: (ὡς) *μεταβολῆς τε αὐτῶν καὶ μετακοσμήσεως ἁπάσης ἄρχει παντὸς μᾶλλον (ψυχή).*

μετακυκλοῦμαι, conversionem vel *rotationem muto.* Epin. 982. D: *πλανᾶσθαί τε καὶ μετακυκλεῖσθαι (τὰ ἄστρα).*

μεταλαγχάνω, in partem alicuius rei venio, particeps fio. Gorg. init. *πολέμου καὶ μάχης ... μεταλαγχάνειν.* Pol. IV. 429. A: *ᾧ προσήκει ταύτης τῆς ἐπιστήμης μεταλαγχάνειν.* Legg. IX. 873. C: *μηδὲ αἰσχύνης τινὸς ἀπόρου καὶ ἀβίου μεταλαχών.*

μεταλαμβάνω, commuto, post alterum vel *alterius loco,* etiam *vicissim sumo;* et in univ. *sumo, assumo;* etiam *accipio, fero* (c. accus.) et *particeps fio, in partem venio,* vel *nanciscor* (c. genit.). Phaedr. 248. E: *ἀμείνονος μοίρας μεταλαμβάνει.* Parm. 131. A: *οὐκοῦν ἤτοι ὅλου τοῦ εἴδους ἢ μέρους ἕκαστον τὸ μεταλαμβάνον μεταλαμβάνει;* 156. A. Pol. VIII. 565. A. Theaet. 172. D: *ὥσπερ ἡμεῖς νυνὶ τρίτον ἤδη λόγον ἐκ λόγου μεταλαμβάνομεν.* Prot. 329. E: *πότερον ... καὶ μεταλαμβάνουσιν οἱ ἄνθρωποι τούτων τῶν τῆς ἀρετῆς μορίων, οἱ μὲν ἄλλο, οἱ δὲ ἄλλο* (Steph. coni. *ἄλλου*). Gorg. 448. C. Polit. 257. C: *μετἀλάμβανε.* Tim. 71. A: *εἴ τέ πῃ καὶ μεταλαμβάνοι τινὸς αὖ τῶν αἰσθήσεων* cet. Pol. VIII. 565. A: *ὅταν μὴ μέλιτός τι μεταλαμβάνῃ.* IV. 434. B: (*ὅταν*) *τὰ ἀλλήλων οὗτοι ὄργανα μεταλαμβάνωσι καὶ τὰς τιμάς* (ubi est: *si — inter se commutent*). Prot. 356. D: *ἐποίει ἄνω τε καὶ κάτω πολλάκις μεταλαμβάνειν ταὐτά.* Soph. 248. D: *οὐδέτερον οὐδετέρου τούτων μεταλαμβάνειν.* 251. D: *μεταλαμβάνειν ἀλλήλων.* Pol. IV. 421. C: *τοῦ μεταλαμβάνειν εὐδαιμονίας.* IX. 585. E: *τὸ ... τῶν ἧττον ὄντων μεταλαμβάνον.* Tim. 51. A: *μεταλαμβάνον ... τοῦ νοητοῦ.* Prot. 337. C: *φρονήσεως μεταλαμβάνοντα.* Legg. X. 904. B: *ποῖόν τι γιγνόμενον ἀεὶ ποίαν ἕδραν δεῖ μεταλαμβάνον οἰκίζεσθαι.* Pol. IV. 434. A: *τὰ ὄργανα μεταλαμβάνοντες τἀλλήλων ἢ τιμάς.* Phaed. 102. B: *τούτων τἆλλα μεταλαμβάνοντα.* Parm. 129. A. Soph. 256. B: *κἂν εἴ πῃ μετελάμβανεν ... κίνησις στάσεως* cet. Prot. 355. C: *ἄλλο ... ὄνομα μετείληφεν ἀντὶ τῆς ἡδονῆς τὸ ἀγαθόν.* Polit. 268. B: *ἐφ' ὅσον αὐτοῦ τὰ θρέμματα φύσει μετείληφεν.* Phil. 65. E. Critia 121. C: *ὅσα γενέσεως μετείληφε.* Legg. IV. 721. B. Soph. 250. E: *ἐπειδὴ ... ἐξ ἴσου τό τε ὂν καὶ τὸ μὴ ὂν ἀπορίας μετειλήφατον.* Polit. 275. C: *παιδείας μετειληφέναι καὶ τροφῆς.* Legg. IV. 721. C: *τῆς ἀθανασίας μετειληφέναι.* Soph. 259. B: *τὸ ... ὂν αὖ θἀτέρου μετειληφός.* Epin. 987. C: *τῷ καὶ σμικρὰ ξυννοίας ὀρθῆς θείας τε μετειληφότι.* Pol. X. 619. D: *ἔθει ἄνευ φιλοσοφίας ἀρετῆς μετειληφότα.* Legg. X. 904. A: *τρίτης γενέσεως μετειληφότα.* Phaed. 72. C: *ὅσα τοῦ ζῆν μεταλάβοι.* Pol. X. 600. E: *ἕως ἱκανῶς παιδείας μεταλάβοιεν.* Tim. 26.

E: *τίν' ἄν ... μᾶλλον ἀντὶ τούτου μεταλάβοιμεν —;* Prot. 355. E: *μεταλάβωμεν ... τὰ ὀνόματα πάλιν τὸ ἡδύ τε καὶ ἀνιαρὸν ἐπὶ τοῖς αὐτοῖς τούτοις.* Legg. XII. 948. D: *ἐὰν ... ὁ διώκων μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων.* (X. 904. D. pro *μεταλάβῃ* scrib. *μεταβάλῃ*). Phil. 11. C: *ὅσαπερ αὐτῶν δυνατὰ μεταλαβεῖν.* Legg. III. 693. D. Epin. 986. D: *μεταλαβὼν φρονήσεως εἷς ὢν μιᾶς.* Apol. 36. B: *οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων.* Polit. 309. E: *μὴ μεταλαβοῦσα.* Epin. 981. C: *μνήμης μεταλαβόντι* cet. Polit. 257. C: *μεταλαβόντες ... τόνδε Σωκράτη.* Parm. 131. A: *ὁμοιότητος ... μεταλαβόντα.* Polit. 309. D: *τοῖς ὀρθῶς μεταλαβοῦσι παιδείας.* Parm. 131. E: *τίν' οὖν τρόπον ... τῶν εἰδῶν σοι τἆλλα μεταλήψεται —;* Pol. VI. 486. E: *τῇ μελλούσῃ τοῦ ὄντος ἱκανῶς τε καὶ τελέως ψυχῇ μεταλήψεσθαι.* Parm. 163. D: *τῷ ἑνὶ ... οὔθ' ἑκτέον ... οὔτε μεταληπτέον οὐσίας οὐδαμῶς.*

μετάλῆψις, ἡ, communio. Parm. 131. A: *ἢ ἄλλη τις ἂν μετάληψις χωρὶς τούτων γένοιτο;* Def. 411. A: *μετάληψις οὐσίας.* Pol. VII. 539. D: *ἐπὶ λόγων μεταλήψει.* Etiam *vicissitudo.* Theaet. 173. B: *ἵνα μὴ καὶ ... λίαν πολὺ τῇ ἐλευθερίᾳ καὶ μεταλήψει τῶν λόγων* (vid. 172. D.) *καταχρώμεθα.*

μεταλλαγή, ἡ, permutatio. Theaet. 199. C: *ἡ τῶν ἐπιστημῶν μεταλλαγή.* Crat. 420. B: *διὰ τὴν τοῦ ω̄ ἀντὶ τοῦ ο͞υ μεταλλαγήν.* Tim. 61. C: *κοινωνίαις τε καὶ μεταλλαγαῖς εἰς ἄλληλα.*

μεταλλάττω, transfero. Tim. 19. A: *τοὺς ... ἀναξίους εἰς τὴν τῶν ἐπανιόντων χώραν μεταλλάττειν.* **permuto, muto.* Polit. 291. B: *ταχὺ δὲ μεταλλάττουσι* (sic Cl. c. al. pro vulg. *μεταβάλλουσι*) *τάς τε ἰδέας καὶ τὴν δύναμιν εἰς ἀλλήλους.* Parm. 138. C: *ἢ μεταλλάττοι χώραν ἑτέραν ἐξ ἑτέρας.* Polit. 292. A: *τοὔνομα ... μεταλλάττειν.* Legg. VI. 760. C: *τοὺς τῆς χώρας τόπους μεταλλάττοντας.* 775. C: *μεταβολὴν οὐ σμικρὰν βίου μεταλλάττοντας.* Crit. 53. D: *τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας.* Pol. IV. 434. A: *πάντα τἆλλα μεταλλαττόμενα.* Cum v. *βίον* est *vitam cum morte commuto*; unde absol. *morior.* Ax. 369. B: *οὔτε περὶ τοὺς ζῶντάς ἐστιν οὔτε περὶ τοὺς μετηλλαχότας.* 367. C: *νυκτὶ μετήλλαξαν.*

μεταλλεία, ἡ, fossio, metallorum investigatio. Critia 114. E: *ὅσα ὑπὸ μεταλλείας ὀρυττόμενα.* Legg. VIII. 842. D: *μεταλλειῶν.* **canalis.* Legg. VI. 761. C: *συνάγοντες μεταλλείαις* (*τὰ πηγαῖα ὕδατα*).

μεταλλεῖον, τό, metallum. Legg. III. 678. D: *σίδηρος γὰρ καὶ χαλκὸς καὶ πάντα τὰ μεταλλεῖα συγκεχυμένα ἠφάνιστο.*

μεταλλεύς, ὁ, metallicus, subst. (vern. *Bergmann*). Legg. III. 678. D: *ἡ τῶν μεταλλέων ... τέχνη.*

μεταλλευτικός, ή, όν, metallicus. Legg. VIII. 847. D: *μεταλλευτικοῦ κτήματος.*

μεταλλεύω, effodio. Polit. 288. D: *καὶ πάνθ' ὁπόσα μεταλλεύεται.*

μεταμανθάνω, meliora edoceor. Pol. III. 413. A: *ἡ ψευδὴς (δόξα) τοῦ μεταμανθάνοντος.*

μεταμέλει, poenitet. Phaedr. 231. A: *ὡς ἐκείνοις μὲν τότε μεταμέλει ὧν ἂν εὖ ποιήσωσιν.* Apol. 38. E: *οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ.* Prot. 356. D: *μεταμέλειν.* Phaed. 113. E: *μεταμέλον αὐτοῖς (quum eos poenituerit).* Gorg. 471. B: *καὶ οὐ μετεμέλησεν αὐτῷ.* Ep. II. 314. B: *εὐλαβοῦ μή ποτέ σοι μεταμελήσῃ τῶν νῦν ἀναξίως ἐκπεσόντων.* Dem. 382. D: *ὅτι οὔτε αὐτοῖς ... πώποτε μεταμελήσει.* Med. *μεταμέλομαι.* Dem. 382. D: *μεταμέλεσθαι πολλάκις αὐτοῖς.*

μεταμέλεια, ἡ, poenitentia. Legg. IX. 866. E: *μεταμέλεια ... εὐθὺς τοῦ πεπραγμένου γίγνηται.* Pol. IX. 577. E: *ταραχῆς καὶ μεταμελείας μεστὴ ἔσται.* Legg. V. 727. C: *μεταμελείας ἐμπιπλὰς αὐτήν.*

μεταμπέχω, induo, med. *induor* (vern. *anlegen*). Pol. VIII. 569. C: *τὴν χαλεπωτάτην ... δούλων δουλείαν μεταμπισχόμενος.*

μεταναίσταμαι, locum vel *sedem muto.* Conv. 223. A: *μεταναστήσομαι.*

μετανοῶ, sententiam muto. Euthyd. 279. C: *μετανοήσας εἶπον* cet.

μεταξύ, inter. Gorg. 467. E: *μεταξὺ τούτων.* Phaed. 71. B: *μείζονος ... πράγματος καὶ ἐλάττονος μεταξὺ αὔξησις καὶ φθίσις.* Theaet. 188. A: *μεταξὺ τούτων ὡς ὄντα.* Parm. 152. C: *μεταξὺ τούτων γιγνόμενον.* 161. D: *μεταξὺ ἄρα τι αὐτοῖν ἀεί ἐστιν.* Conv. 202. A: *ὅτι ἔστι τι μεταξὺ σοφίας καὶ ἀμαθίας.* Pol. VI. 511. D: *ὡς μεταξύ τι δόξης τε καὶ νοῦ τὴν διάνοιαν οὖσαν.* IX. 583. C: *μεταξὺ τούτοιν ἀμφοῖν ἐν μέσῳ ὄν.* Tim. 70. A. — Formula *μεταξὺ τῶν λόγων* utitur qui sermonem interrumpit ut alterum rei alicuius admoneat. Phaedr. 230. A. — Cum art. vel pron. *τι* est *interiectus, medius.* Gorg. 468. A: *τὰ μεταξὺ ταῦτα.* Phaed. 58. C: *ὁ μεταξὺ τῆς δίκης τε καὶ τοῦ θανάτου (χρόνος).* Theaet. 143. C: *αἱ μεταξὺ τῶν λόγων διηγήσεις.* 154. A: *μεταξύ τι ἑκάστῳ ἴδιον γεγονός.* Parm. 152. B: *τὸν μεταξὺ τοῦ ἦν τε καὶ ἔσται.* Pol. III. 393. B: *τὰ μεταξὺ τῶν ῥήσεων.* V. 450. C: *τῆς ἐν τῷ μεταξὺ χρόνῳ γιγνομένης γενέσεώς τε καὶ παιδείας.* 478. E: *τοῖς δὲ μεταξὺ τὰ μεταξὺ ἀποδιδόντες.* Tim. 36. A: *τιθεὶς εἰς τὸ μεταξὺ τούτων.* 50. D: *τὴν ... μεταξὺ τούτων φύσιν.* 70. D: *εἰς τὰ μεταξὺ τῶν τε φρενῶν ... κατῴκισαν.* Lys. 220. D: *ὑφ' ἡμῶν τῶν μεταξὺ ὄντων τοῦ κακοῦ τε καὶ ἀγαθοῦ.* Cum art. pro simpl. *μεταξύ.* Pol. VI. 498. A: *τὸ μεταξὺ οἰκονομίας καὶ*

χρηματισμοῦ πλησιάσαντες αὐτοῦ τῷ χαλεπωτάτῳ (si verba μετ. οἰκ. κ. χρημ. genuina sunt). — Cum v. εἶναι *interiectum esse*, cum v. γίγνεσθαι al. *interponi*. Pol. IV. 443. E: εἰ ἄλλα ἄττα μεταξὺ τυγχάνει ὄντα. Tim. 69. E: αὐχένα μεταξὺ τιθέντες. 77. D: τὸν γόνιμον μεταξὺ λαβόντες μυελόν. Lach. 189. C: ἐὰν μεταξὺ ἄλλοι λόγοι γένωνται. — Exprimi potest Lat. *medius* vel *in medio* (vern. *mitten*, v. c. *mitten in der Rede*, *im Laufe* al.). Prot. 337. E: μὴ μεταξὺ διαλῦσαι τὴν ξυνουσίαν. 348. A. Gorg. 505. C: μεταξὺ τὸν λόγον καταλύομεν. Conv. 214. E: μεταξὺ ἐπιλαβοῦ. Pol. X. 618. A: τὰς δὲ καὶ μεταξὺ διαφθειρομένας (τυραννίδας). — Est etiam *interim*. Lys. 207. D: μεταξὺ ... τις προσελθὼν ἀνέστησε τὸν Μενέξενον. — Cum part. est Lat. *inter* c. gerund. vel *dum* c. modo finito. Phaedr. 234. D: μεταξὺ ἀναγιγνώσκων. Theaet. 256. D: μεταξὺ φερομένων. Pol. I. 336. B: διαλεγομένων ἡμῶν μεταξύ. Tim. 50. B: μεταξὺ τιθεμένου. Legg. IX. 859. B: μεταξὺ νομοθετοῦντες. Apol. 40. B: πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ. Theag. 128. E. Lys. 207. A. Euthyd. 275. E.

μεταπείθω, *in aliam sententiam adduco*. Pol. III. 399. B: ἢ διδάσκοντι ἢ μεταπείθοντι. 413. B: τοὺς μεταπεισθέντας.

μετάπειστος, ὁ ἡ, *qui ad aliam traduci potest persuasionem*. Def. 414. C: ὑπόληψις μετάπειστος (v. μετὰ πίστεως) ὑπὸ λόγου. Tim. 51. E: τὸ μὲν ἀκίνητον πειθοῖ, τὸ δὲ μετάπειστον.

μεταπέμπω, *arcesso*. Prot. 319. B: ὁρῶ ... τοὺς οἰκοδόμους μεταπεμπομένους συμβούλους περὶ τῶν οἰκοδημάτων. Med. *arcesso*, *ad me voco*; etiam *peto*. Ep. VII. 327. D: ἔπεισε μεταπέμπεσθαι Διονύσιον ἐμέ. 337. C. 330. C: μεταπεμπομένου Διονυσίου. De lege 315. D: μεταπεμπόμενοι. Ep. VII. 338. B: μετεπέμπετ' ἐμέ. 348. D: μετεπεμψάμην ... καὶ πρότερον αὐτόν. VII. 349. E: μετεπέμψατο. Conv. 175. C: μεταπέμψασθαι τὸν Σωκράτη. Ep. II. 312. A. Gorg. 471. B: θεῖον μεταπεμψάμενος. Apol. 32. C: μεταπεμψάμενοί με ... εἰς τὴν θόλον. Ep. VII. 337. C: μεταπεμψαμένους. 348. D: μεταπέμψομαι δὲ καὶ νῦν. Pol. VIII. 567. D: πόθεν αὐτοὺς μεταπέμψεται; Ep. III. 317. A: μεταπέμψεσθαι. VII. 338. A.

μετάπεμψις, ἡ, *invitatio* vel *vocatio*. Ep. VII. 339. D: ταύτης ... τοιαύτης γενομένης ἐν τῷ τότε χρόνῳ τῆς μεταπέμψεως. XIII. 360. B. VIII. 338. B: τῇ μεταπέμψει μὴ ἀπειθεῖν.

μεταπεττεύω, *transfero*, *muto*. De lege 316. B: ταῦτα μεταπεττευόμενα ὅτι ταῦτά ἐστιν.

μεταπίπτω, *aliter cado*; hinc *convertor* et *mutor*. Crat. 440. A: εἰ μεταπίπτει πάντα χρήματα καὶ μηδὲν μένει. B. Tim. 50. B: ἃ γε μεταξὺ τιθεμένου μεταπίπτει. Legg. VII.

798. D. Gorg. 493. A: *μεταπίπτειν ἄνω κάτω.* Theaet. 162. D: *νῦν δὲ αὖ τοὐναντίον ταχὺ μεταπέπτωκεν* (*contra res cecidit*). Ep. VII. 325. A: *χρόνῳ δὲ οὐ πολλῷ μετέπεσε* (*concidit*) *τὰ τῶν τριάκοντά τε καὶ πᾶσα ἡ τότε πολιτεία.* Apol. 36. A: *εἰ τρεῖς μόναι μετέπεσον τῶν ψήφων.* Pol. V. 473. C: *ὅτι μεταπέσοι ἄν.* Tim. 46. B: *ὅταν μεταπέσῃ ξυμπηγνύμενον ᾧ ξυμπήγνυται φῶς.* Legg. X. 895. B: *ὑπ' ἄλλου γὰρ οὐ μὴ ποτε ἔμπροσθεν μεταπέσῃ.* Phaedr. 241. B: *ὀστράκου μεταπεσόντος* (*testa conversa*; prov.). Legg. X. 904. D: *πλείω δὲ καὶ ἀδικώτερα μεταπεσόντα.* — Cum gen. est *excido* (Crat. 440. A: *εἰ ... αὐτὸ τοῦτο, ἡ γνῶσις, τοῦ γνῶσις εἶναι μὴ μεταπίπτει*), cum praep. *εἰς transeo.* Crat. 440. B: *ἅμα τ' ἂν μεταπίπτοι εἰς ἄλλο εἶδος γνώσεως* (*in aliam speciem a cognitione diversam*).

μεταπλάττω, transformo. Tim. 50. A: *εἰ ... τις ... μηδὲν μεταπλάττων παύοιτο ἕκαστα εἰς ἅπαντα.* Etiam simpl. *fingo.* Tim. 92: *οἱ μεταπλάττοντες.*

μεταποιοῦμαι, mihi arrogo, vindico. Polit. 289. E: *ἥκιστα βασιλικῆς μεταποιουμένους τέχνης.* B.

μεταπομπή, ἡ, vocatio. Ep. VII. 348. D: *ἀπὸ τῆς προτέρας μεταπομπῆς.*

μεταπορεύομαι, traïicio (me), et in univ. *migro, proficiscor.* Legg. X. 904. C: *κατὰ τὸ τῆς χώρας ἐπίπεδον μεταπορεύεται.*

μετάπτωσις, ἡ, mutatio. Legg. X. 895. B: *μηδεμιᾶς γε ἐν αὐτοῖς οὔσης ἔμπροσθεν μεταπτώσεως.*

μεταῤῥέω, transfundo, h. e. *transfero.* Theaet. 193. C: *οἷα τὰ ἐν τοῖς κατόπτροις τῆς ὄψεως πάθη δεξιὰ εἰς ἀριστερὰ μεταῤῥεούσης.*

μεταῤῥυθμίζω, aliter formo, vario; mutata forma fingo. Tim. 91. D: *τὸ δὲ τῶν ὀρνέων φῦλον μετεῤῥυθμίζετο.* 46. A: *ἑνὸς ... περὶ τὴν λειότητα ἑκάστοτε γενομένου καὶ πολλαχῇ μεταῤῥυθμισθέντος* (v. *μεταῤῥυθμιηθέντος*).

μεταρσιολέσχης, ὁ, qui de rebus caelestibus disputat. Sis. 389. A: *τοὺς ἄλλους τοὺς μεταρσιολέσχας ἅπαντας.*

μετασκευωροῦμαι, muto, emendo. Polit. 276. C: *τοὔνομα μετασκευωρήσασθαι.*

μετάστασις, ἡ, loci vel *sedis mutatio, migratio.* Tim. 82. A: *τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γιγνομένη.* Legg. IX. 877. A: *μετάστασιν ... εἰς τὴν γείτονα πόλιν αὐτῷ γίγνεσθαι διὰ βίου.* Ep. VII. 338. B: *μὴ φυγὴν αὐτῷ γεγονέναι τότε, μετάστασιν δέ.* Etiam *exsilium* (Ep. VIII. 356. E: *θανάτου καὶ δεσμοῦ καὶ μεταστάσεως τῶν πολιτῶν*) et in univ. *mutatio.* Legg. IX. 856. C: *τὸν ἐπιβουλεύοντα βίαιον πολιτείας μεταστάσεως ἄριον καὶ παρανόμου.*

μεταστρεπτικός, ή, όν, convertens. Pol. VII. 525. A:

τῶν ἀγωγῶν ἂν εἴη καὶ μεταστρεπτικῶν ἐπὶ τὴν τοῦ ὄντος θέαν ἡ περὶ τὸ ἓν μάθησις.

μεταστρέφω, *inverto* vel *perverto*. Pol. II. 367. A: μεταστρέφοντες αὐτοῖν τὴν δύναμιν φορτικῶς. *Inverto* est etiam *usum muto, unum pro altero usurpo*. Crat. 418. C: νῦν δὲ ἀντὶ μὲν τοῦ ἰῶτα ἢ ᾶϊ ἢ ἦτα μεταστρέφουσιν. **converto*. Conv. 190. E: τό τε πρόσωπον μεταστρέφειν ... πρὸς τὴν τομήν. Ib. ὁ δὲ τό τε πρόσωπον μετέστρεφε cet. **verso* (aliquid ut explorem). Phaedr. 272. B: χρὴ πάντας τοὺς λόγους ἄνω καὶ κάτω μεταστρέφοντα ἐπισκοπεῖν. Theaet. 191. C: ἐν ᾧ ἀνάγκη πάντα μεταστρέφοντα λόγον βασανίζειν. — Part. (ut vern. *umgekehrt*) est *inversa ratione*, i. q. *ex contrario*. Pol. IX. 587. D: ἐάν τις μεταστρέψας ἀληθείᾳ ἡδονῆς τὸν βασιλέα τοῦ τυράννου ἀφεστηκότα λέγῃ. Gorg. 456. E: οἱ δὲ μεταστρέψαντες χρῶνται τῇ ἰσχύϊ καὶ τῇ τέχνῃ οὐκ ὀρθῶς. Med. *me converto* (vern. *sich umkehren* et *sich zu etwas hinwenden*). Pol. VII. 526. E: ὅσα ἀναγκάζει ψυχὴν εἰς ἐκεῖνον τὸν τόπον μεταστρέφεσθαι ἐν ᾧ cet. Crat. 428. D: δεῖ δὴ ... θαμὰ μεταστρέφεσθαι ἐπὶ τὰ προειρημένα. Phaed. 116. D: μεταστρεφόμενος ἀπῄει. Polit. 273. A. Conv. 213. B: καὶ ἅμα μεταστρεφόμενον αὐτὸν ὁρᾶν τὸν Σωκράτη. Pol. I. 327. B: καὶ ἐγὼ μετεστράφην cet. VII. 518. D: τίνα τρόπον ὡς ῥᾷστα ... μεταστραφήσεται.

μεταστροφή, *ἡ*, *conversio*. Pol. VII. 532. B: μεταστροφὴ ἀπὸ τῶν σκιῶν ἐπὶ τὰ εἴδωλα καὶ τὸ φῶς. 525. C: (ἕνεκα) αὐτῆς τῆς ψυχῆς ῥᾳστώνης μεταστροφῆς ἀπὸ γενέσεως ἐπ' ἀλήθειάν τε καὶ οὐσίαν.

μετάσχεσις, *ἡ*, *communio* (qua quis particeps fit). Phaed. 101. C: τὴν τῆς δυάδος μετάσχεσιν.

μετασχηματίζω, *transformo*. Legg. X. 903. E: μετασχηματίζων τὰ πάντα. **transfero* (unde *translatum*). Legg. X. 906. C: τοῦτο αὖ τὸ ῥῆμα μετεσχηματισμένον.

μετατίθημι, *transfero* (vern. *versetzen*); c. praep. *ἀντί substituo*. Conv. 191. B: μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν. Legg. X. 903. D: μετατιθέναι τὸ μὲν ἄμεινον γιγνόμενον ἦθος εἰς βελτίω τόπον. Conv. 191. C: μετέθηκε ... εἰς τὸ πρόσθεν. Polit. 297. E: ἐπειδὰν τὸ πρῶτόν τις μεταθῇ τὸ νῦν δὴ ῥηθέν. Crat. 432. A: ἐὰν ... μεταθῶμέν τι. Polit. 278. D: μετατιθέμενα ... εἰς τὰς τῶν πραγμάτων μακρὰς ... συλλαβάς. Legg. VIII. 835. B. III. 683. B: ἀντὶ ποίων ποῖα μετατεθέντα εὐδαίμονα τὴν πόλιν ἀπεργάζοιτ' ἄν. Med. *aliter pono* (pr. calculum); hinc *positum* vel *dictum retracto* et *corrigo*; etiam *sententia mutata statuo*. Theag. 122. C: σμικρὸν γάρ τι μετατίθεμαι. Gorg. 493. C: πότερον ... μετατίθεσαι εὐδαιμονεστέρους εἶναι τοὺς κοσμίους τῶν ἀκολάστων —; Crat. 384. D: ὥσπερ τοῖς οἰκέταις ἡμεῖς μετατιθέμεθα (int. τὰ ὀνόματα). Pol. I. 345. B: ἐὰν μετατιθῇ, φανερῶς μετατίθεσο. Lach. 199. D: με-

τατίθεσθαι (sic codd. Vulg. μετατίθεσαι). De lege 316. C: ἄνω κάτω μετατιθέμενοι τοὺς νόμους. Legg. X. 889. E: μετατιθεμένους ἀεὶ ταῦτα. Crat. 384. D: ἂν αὖθίς γε ἕτερον μεταθῆται. Theaet. 197. B: ἡμεῖς τοίνυν σμικρὸν μεταθώμεθα. Pol. I. 334. E: ἀλλὰ μεταθώμεθα· κινδυνεύομεν γὰρ οὐκ ὀρθῶς τὸν φίλον καὶ τὸν ἐχθρὸν θέσθαι. Ib. νῦν δὲ πῶς ... μεταθώμεθα; Legg. X. 889. E: ἃ δ' ἂν μεταθῶνται. Gorg. 493. C: ἐάν πως οἷός τε ὦ ... πεῖσαι μεταθέσθαι ἀντὶ (al. καὶ ἀντὶ) τοῦ ἁπλήστως ... ἔχοντος βίου τὸν κοσμίως ... ἔχοντα βίον ἑλέσθαι (*ut — statuas — vitam eligendam esse*). D: οὐδέν τι μᾶλλον μεταθήσει; De lege 317. B: οὐδὲ μεταθήσονταί ποτε περὶ τῶν αὐτῶν ἕτερα καὶ ἕτερα νόμιμα; Pass. Legg. X. 904. A: τῆς μετατιθεμένης κοσμήσεως. Crat. 384. D: τὸ μετατεθέν (ὄνομα). — Verb. Legg. X. 894. D: ἆρ' οὖν ἡμῖν τῶν νῦν οὐκ ὀρθῶς ῥηθέντων μεταθετέον ἓν ἢ καὶ δύο;

μεταφέρω, transfero. Tim. 73. E: μεταφέρων ... πολλάκις εἰς ἑκάτερον. Critia 113. A: εἰς τὴν αὐτῶν φωλὴν μετενηνοχότας. Tim. 26. C: τοὺς ... πολίτας καὶ τὴν πόλιν ... μετενεγκόντες ἐπὶ τἀληθὲς δεῦρο θήσομεν. 58. B: πάντ' ἄνω κάτω μεταφέρεται πρὸς τοὺς ἑαυτῶν τόπους. Prot. 339. A: μετενηνεγμένον ... εἰς ποίησιν.

μετάφρενον, τό, dorsum. Prot. 352. A: ἀναλύψας καὶ τὰ σιήθη καὶ τὸ μετάφρενον.

μεταφύομαι, post nascor. Tim. 90. E: τῶν γενομένων ἀνδρῶν ὅσοι δειλοὶ ... γυναῖκες μετεφύοντο ἐν τῇ δευτέρᾳ γενέσει.

μεταχειρίζομαι, attrecto, manu tracto. Parm. 130. D: ἄλλο αὐτῶν (αὖ τῶν?) ὧν ἡμεῖς μεταχειριζόμεθα. Phaedr. 240. D: μεταχειρίζεσθαι (*attrectare*). Pol. III. 417. A: μεταχειρίζεσθαι καὶ ἅπτεσθαι χρυσοῦ καὶ ἀργύρου. *in univ. *tracto* (aliquem et aliquid), *operam do, factito* vel *exerceo*; etiam *aggredior, suscipio; capio* et *adipiscor.* Pol. VII. 529. A: ὡς ... νῦν αὐτὴν (τ. ἀστρονομίαν) μεταχειρίζονται οἱ εἰς φιλοσοφίαν ἀνάγοντες. Men. 81. A: περὶ ὧν μεταχειρίζονται λόγον οἵοις τ' εἶναι διδόναι. Gorg. 519. B: ὅταν ἡ πόλις τινὰ τῶν πολιτικῶν ἀνδρῶν μεταχειρίζηται ὡς ἀδικοῦντα. Pol. I. 346. E: τὰ ἀλλότρια κακὰ μεταχειρίζεσθαι ἀνορθοῦντα. VII. 526. A. Legg. II. 656. D: καλὰ ... σχήματα ... μεταχειρίζεσθαι. Polit. 268. B: τὴν τῆς αὐτοῦ ποίμνης ἄριστα μεταχειριζόμενος μουσικήν. Hipp. mai. 304. B: λήρους καὶ φλυαρίας ... μεταχειριζόμενος. Pol. VI. 497. D: μεταχειριζομένη πόλις φιλοσοφίαν. Phaed. 84. A: Πηνελόπης τινὰ ἐναντίως ἰστὸν μεταχειριζομένην. Legg. IX. 857. C: τῶν ταῖς ἐμπειρίαις ἄνευ λόγων τὴν ἰατρικὴν μεταχειριζομένων. Prot. 316. D: τοὺς ... μεταχειριζομένους αὐτήν (τ. σοφιστικὴν τέχνην). Epin. 988. C: οἵας μετεχειρίζοντο πράξεις. Tim. 20. A: τὰς μεγίστας ... ἀρχάς τε

καὶ τιμὰς ἐν (Par. A. τῶν ἐν) τῇ πόλει μετακεχείρισται. Epin. 975. B: φύσει ... πάντες φαινόμεθα γῆν μετακεχειρίσθαι. Legg. II. 670. E: ἀκριβεστέραν ἂν παιδείαν ... εἶεν ἂν μετακεχειρισμένοι. Phaedr. 277. C: τέχνῃ ... μεταχειρισθῆναι τὸ λόγων γένος. Pol. III. 408. D: ὅσοι (ἰατροὶ) πλείστους μὲν ὑγιεινούς, πλείστους δὲ νοσώδεις μετεχειρίσαντο. Legg. XII. 967. A: τοὺς τὰ τοιαῦτα μεταχειρισαμένους. Pol. III. 410. B: οὐχ, ὥσπερ οἱ ἄλλοι ἀθληταί, ῥᾳμιης ἕνεκα σιτία καὶ πόνους μεταχειριεῖται. Epin. 992. A: εἰ δ' ἄλλως πως ταῦτα μεταχειριεῖταί τις.

μέτειμι, *persequor aliquem* (ut poenas repetam) et *persequor aliquid*, h. e. *expono*, *quaero*; *sequor* (ut ἴχνος); etiam *operam do*, *tracto*, *colo*. Polit. 257. B: καὶ σὲ μὲν ἀντὶ τούτων εἰς αὖθις μέτειμι. 263. B: ταῦτα δὲ εἰς αὖθις κατὰ σχολὴν καθάπερ ἰχνεύοντες (al. ἰχνεύομεν) μέτιμεν. Pol. VII. 530. B: οὕτω καὶ ἀστρονομίαν μέτιμεν. Tim. 50. C. Eryx. 401. A: εἰ πάλιν ὧδε μετίοιμεν. Soph. 252. B: ἔτι τοίνυν ἂν αὐτοὶ πάντων καταγελαστότατα μετίοιεν τὸν λόγον οἱ cet. Conv. 210. A: ἐάν τις ὀρθῶς μετίῃ. Pol. VII. 528. E: ἐὰν αὐτὴν πόλις μετίῃ. Polit. 282. C: μετίωμεν σύμπαντα. Phaedr. 263. B: τὸν μέλλοντα τέχνην ῥητορικὴν μετιέναι. Soph. 235. C: τῶν οὕτω δυναμένων μετιέναι καθ' ἕκαστά τε καὶ ἐπὶ πάντα. Legg. VI. 754. E: τῷ βουλομένῳ μετιέναι (*persequi* vel *accusare*). Prot. 350. D: τούτῳ ... τῷ τρόπῳ μετιών. Phaedr. 276. D: πάντι τῷ ταὐτὸν ἴχνος μετιόντι. 270. E: τόν γε τέχνῃ μετιόντα ὁτιοῦν. Soph. 218. D: περί τινος τῶν φαύλων μετιόντες. Men. 74. D: εἰ ... ὥσπερ ἐγώ, μετήει τὸν λόγον.

μετεκβαίνω, *transeo*. Legg. XI. 935. A: μετεκβαίνειν ... εἰς τό τι γελοῖον ... φθέγγεσθαι. I. 642. A: εἰ ... μετεκβαῖμεν ... εἰς ἕτερόν τινα νόμων πέρι λόγον.

μετενδύομαι, *migro*. Locr. 104. D: ὡς μετενδυομέναν τᾶν ψυχᾶν ... ἐς γυναικέα σκάνεα.

μετέπειτα, *post*. Ep. VIII. 353. C: τὸν μετέπειτα χρόνον.

μετέρχομαι, *persequor* aliquid, h. e. *investigo* et *expono* vel *tracto*. Pol. VII. 528. E: ᾗ σὺ μετέρχει. Phaedr. 252. E: αὐτοὶ μετέρχονται. Phaed. 88. D: πῇ ὁ Σωκράτης μετῆλθε τὸν λόγον; Theaet. 187. E: πάλιν ὥσπερ ἴχνος μετελθεῖν. Pol. VI. 502. E: τὸ ... τῶν ἀρχόντων ὥσπερ ἐξ ἀρχῆς μετελθεῖν δεῖ. Etiam δίκη dicitur *μετελθεῖν*. Prot. 322. A: Προμηθέα ... ὕστερον ... κλοπῆς δίκη μετῆλθεν.

μέτεστι, v. c. *μοι*, *particeps sum* vel *partem habeo*, *ad me pertinet*, *in me cadit*. Phaed. 61. C: ὅτῳ ἀξίως τούτου τοῦ πράγματος (φιλοσοφίας) μέτεστιν. Theaet. 186. E: ᾧ γε ... οὐ μέτεστιν ἀληθείας ἅψασθαι. Soph. 248. C: ὅτι γενέσει ... μέτεστι τοῦ πάσχειν καὶ ποιεῖν δυνάμεως. Parm. 141. D: οὐδὲ ... χρόνου αὐτῷ μέτεστιν. Pol. X. 606. B: λογίζεσθαι γὰρ ... ὀλίγοις τισὶ μέτεστιν ὅτι cet. Tim. 77.

εἶσει. VIII. 564. C: ὧδε τοίνυν ... λάβωμεν. Tim. 51. D: ὧδε οὖν τήν γ' ἐμὴν αὐτὸς τίθεμαι ψῆφον. Legg. V. 742. C. al. Etiam est *hinc* vel *inde* (Prot. 342. D: γνοίητε δ' ἂν ὅτι ἐγὼ ταῦτα ἀληθῆ λέγω ... ὧδε.) et *huc*. Prot. 328. D: ὅτι προὔτρεψάς με ὧδε ἀφικέσθαι. Att. ὦδί. Prot. 353. C: εἰποιμὶ ἂν ἔγωγε πρὸς αὐτοὺς ὧδί. Gorg. 477. C. Alc. II. 142. E. Lys. 214. A. al.

ᾠδή, *cantus; carmen* (praec. lyricum). Legg. II. 654. B: χορεία γε μὴν ὄρχησίς τε καὶ ᾠδὴ τὸ ξύνολόν ἐστιν. Conv. 197. E: καλῆς ᾠδῆς μετέχοντα, ἣν ᾇδει cet. Pol. III. 398. C: τὸ περὶ ᾠδῆς τρόπου καὶ μελῶν. 411. A: γεγανωμένος ὑπὸ τῆς ᾠδῆς. IV. 424. C: τρόπον ᾠδῆς νέον. Legg. III. 700. B: εἶδος ᾠδῆς. IV. 722. D: κιθαρῳδικῆς ᾠδῆς. Phaedr. 278. C: ἐν ᾠδῇ. Crat. 405. D: περὶ τὴν ἐν τῇ ᾠδῇ ἁρμονίαν ἣ δὴ συμφωνία καλεῖται. Pol. III. 404. D: τῇ μελοποιίᾳ τε καὶ ᾠδῇ τῇ ἐν τῷ παναρμονίῳ καὶ ἐν πᾶσι ῥυθμοῖς πεποιημένῃ. Legg. XII. 947. C. εὐδαιμονίζοντας ᾠδῇ. Pol. II. 670. A: πλὴν ὅσον ὑπὸ ὄρχησίν τε καὶ ᾠδήν. Legg. VII. 799. A: ἐπὶ τοῖς τῶν θεῶν θυμασιν ἑκάστοις ἣν ᾠδὴν δεῖ ἐφυμνεῖσθαι. 816. D: κατὰ λέξιν τε καὶ ᾠδήν. Alc. I. 108. A: κιθαρίζειν ... πρὸς τὴν ᾠδήν. Legg. II. 659. E: παιδιαί τε καὶ ᾠδαὶ καλεῖσθαι καὶ πράττεσθαι. Pol. III. 399. C: ἐν ταῖς ᾠδαῖς τε καὶ μέλεσιν. Legg. II. 654. A: ᾠδαῖς τε καὶ ὀρχήσεσιν ἀλλήλους ξυνείροντας. 664. A: ἔν τε ᾠδαῖς καὶ μύθοις καὶ λόγοις. VII. 800. E: ταῖς ἐπικηδείοις ᾠδαῖς. 816. A: εἴτ' ἐν ᾠδαῖς εἴτ' ἐν λόγοις. Lys. 206. B. Phaedr. 245. A: κατά τε ᾠδὰς καὶ κατὰ τὴν ἄλλην ποίησιν. Legg. II. 665. D: πᾶς ... γιγνόμενος πρεσβύτερος ὄκνου πρὸς τὰς ᾠδὰς μεστός. VII. 799. E: νόμους τὰς ᾠδὰς ἡμῖν γεγονέναι. VIII. 835. A: κατὰ λόγον καὶ κατ' ᾠδὰς καὶ καθ' ἁρμονίας cet. Menex. 239. C: ἐς ᾠδάς τε καὶ τὴν ἄλλην ποίησιν αὐτὰ θεῖναι πρεπόντως τῶν πραξάντων.

ᾠδί, vid. ὧδε.

ᾠδίνω, *parturio*; etiam trop., ut Lat. Theaet. 148. E: ᾠδίνεις γὰρ ... διὰ τὸ μὴ κενός, ἀλλ' ἐγκύμων εἶναι. 210. B: ἦ οὖν ἔτι κυοῦμέν τι καὶ ᾠδίνομεν ... περὶ ἐπιστήμης —; 151. A: ᾠδίνουσι. B: ᾠδίνειν τι κυοῦντα ἔνδον. Pol. III. 395. E: κάμνουσαν ... ἢ ἐρῶσαν ἢ ᾠδίνουσαν (γυναῖκα).

ᾠδίς, ἡ, *dolor parturientis* et in univ. *dolor vehemens*. Ep. II. 313. A: ἡ περὶ τούτου ᾠδὶς ἐν τῇ ψυχῇ ἐγγιγνομένη. Conv. 206. E: διὰ τὸ μεγάλης ᾠδῖνος ἀπολύειν τὸν ἔχοντα (τὸ καλόν). Pol. VI. 490. B: καὶ οὕτω λήγοι ᾠδῖνος. Theaet. 151. A: ταύτην ... τὴν ᾠδῖνα ἐγείρειν τε καὶ ἀποπαύειν ἡ ἐμὴ τέχνη δύναται. Pol. IX. 574. A: μεγάλαις ᾠδῖσί τε καὶ ὀδύναις ξυνέχεσθαι. Theaet. 149. C: ἐγείρειν ... τὰς ᾠδῖνας καὶ μαλθακωτέρας ... ποιεῖν. Tim. 84. E: τὰς αὐτὰς ... ᾠδῖνας (v. ὀδύνας) παρέσχε. 86. C: πολλὰς μὲν ... ᾠδῖνας (v. ὀδύνας), πολλὰς δ' ἡδονὰς κτώμενος ἐν ταῖς ἐπιθυμίαις

καὶ τοῖς περὶ τὰ τοιαῦτα τόκοις. Legg. IV. 717. C: ὠδῖνας παλαιὰς ἐπὶ νέοις δανεισθείσας ἀποδιδόντα παλαιοῖς cet.

ᾠδός, ὁ, *cantor*. Phaedr. 262. D: οἱ ὑπὲρ κεφαλῆς ᾠδοί. Legg. II. 670. C: τοῖς ᾠδοῖς. VII. 800. E: χορούς τινας ἔξωθεν μεμισθωμένους ᾠδούς. 812. B: τοὺς τοῦ Διονύσου ... ᾠδούς.

ὠθῶ, *pello, trudo; deturbo* vel *deïcio*. Pol. VIII. 553. B: εὐθὺς ἐπὶ κεφαλὴν ὠθεῖ (*praecipitem deïcit*, h. e. *praecipitat*) ἐκ τοῦ θρόνου τοῦ ἐν τῇ ἑαυτοῦ ψυχῇ φιλοτιμίαν cet. Tim. 79. B: τὸ πλησίον ἐκ τῆς ἕδρας ὠθεῖ. Legg. X. 899. A: (ὡς) ὠθεῖ βίᾳ σώματι σῶμα. Pol. VIII. 560. D: τὴν ... αἰδῶ ... ὠθοῦσιν ἔξω ἀτίμως φυγάδα. Crat. 401. D: τὸ ... αἴτιον καὶ τὸ ἀρχηγὸν αὐτῶν εἶναι τὸ ὠθοῦν. Charm. 155. C: ἕκαστος ... ἡμῶν τῶν καθημένων ξυγχωρῶν τὸν πλησίον ὦθει σπουδῇ cet. Tim. 60. C: τὸν ... πλησίον ἔωσεν ἀέρα. 92: εἰς ὕδατος θολερὰν καὶ βαθεῖαν ἔωσαν ἀναπνευσιν. Phaedr. 229. C: αὐτὴν πνεῦμα Βορέου κατὰ τῶν πλησίον πετρῶν ... ὦσαι. Pol. III. 415. C: ὦσουσιν εἰς δημιουργούς. Phil. 62. C: ὥσπερ θυρωρὸς ὑπ' ὄχλου τινὸς ὠθούμενος καὶ βιαζόμενος. Tim. 59. A: ὠθούμενος ὁ πλησίον ἀήρ. 58. E: ὑπὸ τοῦ πλησίον ἀέρος ὠθούμενον. Euthyd. 294. D: ὥσπερ οἱ κάπροι οἱ πρὸς τὴν πληγὴν ὁμόσε ὠθούμενοι. Tim. 57. B. παντάπασιν ὠθούμενα. 60. C: ὠσθείς.

ὠκύτης, ἡ, *festinatio*. Ax. 364. C: ὠκύτητος δεῖ.

ὤμοι, *heu mihi!* Pol. III. 388. C. (Hom.).

ὠμηστής, ὁ, *cruda comedens*. Ion. 538. D. (Hom.).

ὦμος, ὁ, *humerus*. Pol. V. 449. B: λαβόμενος τοῦ ἱματίου ἄνωθεν αὐτοῦ παρὰ τον ὦμον. X. 613. C: τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες.

ὠμός, ἡ, ὸν, *rudis; crudelis, immanis*. Ax. 369. A: δῆμος γὰρ ... ὠμόν, βάσκανον, ἀπαίδευτον. Legg. IV. 718. D: μὴ παντάπασιν ὠμῆς ψυχῆς λαβόμενα. VII. 823. E: θηρευτὰς ὠμοὺς καὶ ἀνόμους. Crat. 395. B: ἃ πρὸς τὸν Θυέστην ὡς ὠμὰ διεπράττετο. Ep. I. 309. A: ἤδη γὰρ ὅτι τῶν ὠμοτέρων οὐδὲν ἐμοῦ συνεθέλοντος ὑμῖν δόξει πεπρᾶχθαι.

ὠνή, ἡ, *emtio*. Pol. VII. 525. C: οὐκ ὠνῆς οὐδὲ πράσεως χάριν ὡς ἐμπόρους ἢ καπήλους μελετῶντας. Legg. VIII. 850. B. XI. 915. D. Prot. 314. A: ἐν τῇ τῶν μαθημάτων ὠνῇ. Ib. ὥστε ἐν τῇ ὠνῇ οὐ μέγας ὁ κίνδυνος. Soph. 223. D: ὠνῇ καὶ πράσει. Pol. II. 371. D: τοὺς πρὸς ὠνήν τε καὶ πρᾶσιν διακονοῦντας. Legg. VIII. 849. B: ὠνὴν ποιεῖσθωσαν ... ἱκανήν. XI. 915. E.

ὠνητής, ὁ, *emtor*. Eryx. 394. E: τούτου ... μὴ εἶναι ὠνητάς.

ὠνητός, ἡ, ὸν, *emtus*. Pol. VIII. 544. D: ὠνηταὶ βασιλεῖαι. Legg. VIII. 841. D: ὠνηταῖς εἴτε ἄλλῳ ὁτῳοῦν τρόπῳ κτηταῖς (γυναιξί). Polit. 289. D: τοὺς ὠνητούς (ὑπηρέτας).

ὤνιος, α, ον, *venalis*. Legg. VIII. 848. A: ὤνιον ... ἔστω. 849. A: τῶν ὠνίων. E.

ὠνοῦμαι, emo. Legg. VIII. 849. C: *μήτε τις πωλείτω μήτε ὠνείσθω παρὰ τοιούτου μηδεὶς μηδενός.* D. Prot. 313. E: *ἀσφαλές σοι ὠνεῖσθαι μαθήματα καὶ παρὰ Πρωταγόρου καὶ παρ' ἄλλου ὁτουοῦν.* Legg. V. 741. B: *μὴ ἀτιμάσητε τῷ ὠνεῖσθαι καὶ τῷ πωλεῖν πρὸς ἀλλήλους.* VIII. 849. B. C. Soph. 224. D: *τὰ μὲν ὠνούμενος* cet. Legg. VIII. 845. A. Prot. 313. D: *οἱ ὠνούμενοι παρ' αὐτῶν.* Pol. II. 371. B: *πωλοῦντες καὶ ὠνούμενοι.* VIII. 555. C. Pass. Phaed. 69. B: (*μὴ*) *τούτου ... πάντα καὶ μετὰ τούτου ὠνούμενά τε καὶ πιπρασκόμενα τῷ ὄντι ᾖ.* Pol. VIII. 563. B: *ὅταν δὴ οἱ ἐωνημέναι μηδὲν ἧττον ἐλεύθεροι ὦσι τῶν πριαμένων.* Ax. 366. C: *τὰ μὲν ... διμοίρου ἐωνημένα.* Legg. VIII. 850. A: *τὸ ... ὠνητὸν ἢ πραθέν* cet. Soph. 224. A: *ἔνθεν μὲν ὠνητικὴν, ἑτέρωσε δὲ ἀγομένην καὶ πιπρασκομένην (μουσικήν).* — Verb. Legg. VIII. 849. C: *ὅσα πρατέα ἑκάστοις ἢ ὠνητέα αὐτοῖς (αὖ τοῖς?) θεομένοις.*

ὠόν, τό, ovum. Conv. 190. E: *ὥσπερ οἱ τὰ ὠὰ ταῖς θριξὶν (τέμνοντες).*

ὥρα, ἡ, tempus definitum, praec. *anni tempus; tempestas* et *coelum* (nos: *Clima*). Prot. 344. D: *χαλεπὴ ὥρα ἐπελθοῦσα.* Pol. VI. 491. D: *μηδ' ὥρας μηδὲ τόπου (τυχόν).* Legg. VI. 760. D. XII. 952. E: *ἔτους ὥρα (aestate).* Phaedr. 229. A: *τήνδε τὴν ὥραν τοῦ ἔτους τε καὶ τῆς ἡμέρας.* Legg. VI. 760. D: *κατὰ μίαν ὥραν τοῦ ἐνιαυτοῦ.* Crat. 410. C: *αἱ ὧραι ... ὅραι ... εἰσὶ διὰ τὸ ὁρίζειν χειμῶνάς τε καὶ θέρη* cet. Ib. *ὁρίζουσαι δὲ δικαίως ἂν ὅραι καλοῖντο.* Phil. 26. A: *ὧραί τε καὶ ὅσα καλὰ πάντα ἡμῖν γέγονε.* Legg. VII. 809. D. Epin. 976. A. Ax. 371. C: *ἔνθα ἄφθονοι ... ὧραι παγκάρπου γονῆς βρύουσι.* Polit. 272. A: *τὸ ... τῶν ὡρῶν αὐτοῖς ἄλυπον ἐπέκρατο.* Crat. 408. E: *ὡρῶν καὶ ἐνιαυτοῦ.* Conv. 188. A: *ἡ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ σύστασις.* Pol. VI. 488. D: *ἐνιαυτοῦ καὶ ὡρῶν.* Tim. 24. C: *τὴν εὐκρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα.* Legg. VI. 782. A: *στροφὰς ὡρῶν παντοίας.* X. 886. A: *τὰ τῶν ὡρῶν διακεκοσμημένα καλῶς οὕτως.* 899. B. Locr. 97. C: *ὡρῶν περίοδοι.* Pol. VIII. 563. E: *ἐν ὥραις τε καὶ ἐν φυτοῖς καὶ ἐν σώμασι.* Tim. 75. E: *διὰ τὴν ἐν ταῖς ὥραις ἐφ' ἑκάτερον ὑπερβολήν.* Legg. VII. 797. D: *ἐν ὥραις πάσαις.* X. 906. C: *ἐν ... ὥραις ἐτῶν καὶ ἐνιαυτῶν λοιμόν.* Prot. 321. A: *πρὸς τὰς ἐκ Διὸς ὥρας εὐμάρειαν ἐμηχανᾶτο.* Phaed. 111. B: *τὰς ... ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην ὥστε* cet. Phil. 30. C: *ἐνιαυτούς τε καὶ ὥρας καὶ μῆνας.* Conv. 188. A: *περὶ τὰς τοῦ ἐνιαυτοῦ ὥρας.* B. Pol. VI. 516. B: *ὁ τάς τε ὥρας παρέχων καὶ ἐνιαυτούς.* VII. 527. D: *τὸ ... περὶ ὥρας εὐαισθητοτέρως ἔχειν καὶ μηνῶν καὶ ἐνιαυτῶν.* Critia 111. E: *ὥρας μετριώτατα κεκραμένας.* Legg. VI. 761. C: *καθ' ἑκάστας τὰς ὥρας.* IX. 865. E: *ὑπεξελθεῖν ... τὰς ὥρας πάσας τοῦ ἐνιαυτοῦ.* 906. A: *γεωργοῖς περὶ φυτῶν γένεσιν εὐωθυίας ὥρας χαλε-*

πὰς διὰ φόβων προσδεχομένοις. Epin. 977. B: ὅπῃ ... ὥρας τε καὶ τροφὴν πᾶσι παρέχεται. 985. E: ἐνιαυτῶν ὥρας. Etiam *dies* (Legg. VI. 784. A: ἑκάστης ἡμέρας ξυλλεγόμεναι μέχρι τρίτου μέρους ὥρας.) et *annus*. Ep. VII. 346. C: εἰς δὲ ὥρας (*ad annum*, nos: *übers Jahr*) ἅπιθι λαβὼν τὰ χρήματα ταῦτα. **tempus* in univ. Prot. 361. E: νῦν δ' ὥρα ἤδη καὶ ἐπ' ἄλλο τι τρέπεσθαι. 362: καὶ γὰρ ἐμοὶ ... ἰέναι πάλαι ὥρα. Theaet. 145. B. Soph. 241. B. Phil. 62. E. Pol. V. 462. E: ὥρα ἂν εἴη ... ἐπανιέναι ἡμῖν ἐπὶ τὴν ἡμετέραν πόλιν. Euth. 15. E: καί μοι ὥρα ἀπιέναι. Apol. 42. A. Crit. 46. A: οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. Men. 100. B. Epin. 987. A: διὰ τὸ κάλλος τῆς θερικῆς ὥρας. De lucri cup. 225. C: ἐν ὁποίᾳ ἄξια φυτευθῆναι καὶ ὥρᾳ καὶ χώρᾳ. Legg. II. 669. D: ὥραν τῆς τέρψιος (ex Orph.). VIII. 844. D: πρὶν ἐλθεῖν τὴν ὥραν τὴν τοῦ τρυγᾶν cet. Etiam *tempus* vel *opportunum*, h. e. *opportunitas, commodum:* Def. 484. C: (αἴσθησις) ψυχῆς διὰ σώματος εἰς ἀγγελοις εἰς ὥρας ἀνθρώπων. vel *importunum*, ut Lat. *tempestas*, h. e. *malum, morbus* al. Ax. 364. B: ἔκ τινος ὥρας αἰφνιδίου ἀδυνάτως ἔχει. **tempus florens, flos aetatis; pulchritudo.* Phaedr. 234. A: οἱ τῆς σῆς ὥρας ἀπολαύσονται. Ib. παυσάμενοι (si sanum) τῆς ὥρας. Conv. 219. C: κατεγέλασε τῆς ἐμῆς ὥρας. Legg. VIII. 837. B: τοῦ μὲν κελεύοντος τῆς ὥρας ἅπτεσθαι cet. C: (ὁ) τῆς ὥρας καθάπερ ὀπώρας πειρῶν. Alc. I. 131. E: τὰ ... σὰ λήγει ὥρας, σὺ δ' ἄρχει ἀνθεῖν. Phaedr. 240. D: ὄψιν πρεσβυτέραν καὶ οὐκ ἐν ὥρᾳ. Phaed. 80. C: ἐὰν μιέν τις καὶ χαριέντως ἔχων τὸ σῶμα τελευτήσῃ καὶ ἐν τοιαύτῃ ὥρᾳ cet. Conv. 217. A: ἡγούμενος ... αὐτὸν ἐσπουδακέναι ἐπὶ τῇ ἐμῇ ὥρᾳ cet. Pol. V. 474. D: πάντες οἱ ἐν ὥρᾳ. E: ἐὰν ἐπὶ ὥρᾳ ᾖ. 475. A: τῶν ἀνθούντων ἐν ὥρᾳ. Men. 76. B: ἅτε τυραννεύοντες ἕως ἂν ἐν ὥρᾳ ὦσι. Polit. 270. E: πάλιν ἐπὶ τὴν παρελθοῦσαν ὥραν ἕκαστον καθίστασαν. Etiam *matura aetas* vel *pubertas*. Tim. 91. C: ὅταν ἄκαρπον παρὰ τὴν ὥραν χρόνον πολὺν γίγνηται. Critia 113. D: ἤδη ... εἰς ἀνδρὸς ὥραν ἡκούσης τῆς κόρης.

ὡραῖος, α, ον, *tempestivus, maturus*, praec. de fructibus. Legg. VIII. 847. E: οἷον πυρῶν καὶ κριθῶν, οἷσι δὴ καὶ τὰ ἅπαντα ἀκολουθείτω τὰ ἄλλα ὡραῖα νεμόμενα. 845. E: περὶ ... ξυγκομιδῆς τῶν ὡραίων ἁπάντων. Critia 118. E: ἦ ... καὶ τἆλλα ... ὡραῖα πλοίοις κατεκομίζοντο. **aetate florens.* Pol. IX. 574. C: ἕνεκα ὡραίου νεωστὶ φίλου γεγονότος. X. 601. B: τοῖς τῶν ὡραίων προσώποις, καλῶν δὲ μή. *Iustus* verti potest Critia 116. C: ἔνθα ... ὡραῖα ἀπετέλουν ἱερὰ ἐκείνων ἑκάστῳ.

ὡς, Lat. est *ut*, *quam* et *quod* (germ. *wie*, *dass* et *weil*). I. *ut, quomodo, quemadmodum.* Prot. 312. B: ὡς τὸν ἰδιώτην καὶ τὸν ἐλεύθερον πρέπει. Phaedr. 274. A: οὐχ ὡς σὺ δοκεῖς. Ib. ὡς ὁ λόγος φησίν. Phaed. 63. B: ὡς αὐτὸς ὁμο-

λογεῖς. 92. E: ὡς ἐμαυτὸν πείθω. Phil. 15. C: ὡς γοῦν ἐγὼ φαίην ἄν. Conv. 198. D: οὐδὲν εἰδὼς ἄρα τοῦ πράγματος ὡς ἔδει ἐγκωμιάζειν ὁτιοῦν. Pol. I. 331. A: ὡς καὶ Πίνδαρος λέγει. IV. 423. D: ὡς δόξειεν ἄν τις. V. 464. B: πρὸς μέρος αὐτοῦ ... ὡς ἔχει. X. 619. E: τὴν θέαν ἀξίαν εἶναι ἰδεῖν, ὡς ἕκασται αἱ ψυχαὶ ᾑροῦντο τοὺς βίους. VII. 530. C: ὡς νῦν ἀστρονομεῖται. Legg. III. 691. D. Sic ὡς ἔοικε, ὡς τὸ εἰκός et ὥς γε τὸ εἰκός, ὡς ἐμοὶ δοκεῖ al. Cum genit. Gorg. 507. D: ἀπολασίαν δὲ φευκτέον, ὡς ἔχει ποδῶν ἕκαστος ἡμῶν. Pol. II. 365. A: ὡς ἄνθρωποι καὶ θεοὶ περὶ αὐτὰ ἔχουσι τιμῆς. Legg. XI. 917. B. XII. 966. E: ὡς ἔχει τάξεως. Cum part. ἄν et coni. *prout.* Crat. 424. E: ὡς ἂν ... δοκῇ ἑκάστη ἡ εἰκὼν δεῖσθαι ἑκάστου φαρμάκου. Conv. 181. A: ἐν τῇ πράξει, ὡς ἂν πραχθῇ, τοιοῦτον ἀπέβη. Legg. IX. 881. D: πάντως ὡς ἂν ἐθέλωσι. Cum part. ἄν et opt. est *quomodo, qua ratione.* Phaedr. 231. A: ὡς ἂν ἄριστα περὶ τῶν οἰκείων βουλεύσαιντο. 262. D: ἔχοντέ τι παράδειγμα, ὡς ἂν ὁ εἰδὼς τὸ ἀληθὲς ... παράγοι τοὺς ἀκούοντας. Pol. III. 428. C: βουλευομένη, ὡς ἂν ἔχοι βέλτιστα. V. 473. A: εὑρεῖν, ὡς ἂν ἐγγύτατα τῶν εἰρημένων πόλις οἰκήσειε. VII. 541. B: ὡς ἂν γένοιτο ... δοκεῖς μοι ... εὖ εἰρηκέναι. Quod etiam ita ponitur ut in eo ὅτι lateat (sicut ὡς pro ὅτι οὕτως, οἷος pro ὅτι τοιοῦτος al. ponuntur). Phaedr. 230. B: ὡς (i. e. ὅτι οὕτως) ἀκμὴν ἔχει τῆς ἄνθης, ὡς ἂν εὐωδέστατον παρέχοι τὸν τόπον (*ut quam maxime possit locum odore perfundat*). Gorg. 453. C: ἵνα οὕτω προίῃ (ὁ λόγος), ὡς μάλιστ' ἂν ἡμῖν καταφανὲς ποιοῖ περὶ ὅτου λέγεται (*ut quam possit maxime perspicuum reddat* cet.). Phaed. 82. E: ὅτι δι' ἐπιθυμίας ἐστίν, ὡς ἂν μάλιστα αὐτὸς ὁ δεδεμένος ξυλλήπτωρ εἴη τῷ (τοῦ?) δεδέσθαι. Polit. 286. D: ὡς ἂν ῥᾷστα καὶ τάχιστα εὕροιμεν. Conv. 187. D: ὡς ἂν κοσμιώτεροι γίγνοιντο οἱ μήπω ὄντες, δεῖ χαρίζεσθαι. Eryx. 392. C: ὑπὸ δὲ τῶν σμικρῶν τούτων ἂν μᾶλλον ὀργίζοιντο, οὕτως ὡς ἂν μάλιστα χαλεπώτατοι εἶησαν. **ut, quam* (propr. in exclamatione mirantis. Vern. *wie* et *wie sehr*). Prot. 328. D: ὡς χάριν σοι ἔχω ὅτι cet. Gorg. 491. E: ὡς ἡδὺς εἶ. 505. D. Crat. 399. D: ὡς εἰκότως τούτου τοῦ ὀνόματος τυγχάνει (ψυχή). Pol. III. 414. C: ὡς ἔοικας ... ὀκνοῦντι λέγειν. V. 459. B: ὡς ἄρα σφόδρα ἡμῖν δεῖ ἄκρων εἶναι τῶν ἀρχόντων. 467. A: ὡς πολὺν χρόνον διακονοῦντες θεωροῦσι. VI. 496. C: γευσάμενοι, ὡς ἡδὺ καὶ μακάριον τὸ κτῆμα. Hipp. mai. init. ὡς διὰ χρόνου ἡμῖν κατῆρας εἰς τὰς Ἀθήνας. Menex. 243. E: ὡς ἀσμένως καὶ οἰκείως ἀλλήλοις συνέμιξαν οἱ πολῖται. Alc. I. 119. E. Charm. 154. C. Etiam *quantum* vel *quantopere.* Pol. III. 415. B: (ὅπως) μηδ' οὕτω σφόδρα φυλάξουσι μηδέν, ὡς τοὺς ἐκγόνους. Apol. 30. B: οὕτω σφόδρα, ὡς τῆς ψυχῆς. 36. D. Alc. I. 105. B: ὅτι ἄξιος εἶ τιμᾶσθαι, ὡς οὔτε Περικλῆς cet. Sic praec. cum adverb.

Phaed. 92. A: *θαυμαστῶς ὡς ἐπείσθην ὑπ' αὐτοῦ.* 95. A: *θαυμαστῶς μοι εἶπες ὡς παρὰ δόξαν.* Pol. I. 331. A: *θαυμαστῶς ὡς σφόδρα.* Gorg. 496. C: *ἀλλ' ὑπερφυῶς ὡς ὁμολογῶ.* Conv. 173. C: *ὑπερφυῶς ὡς χαίρω.* Alc. II. 147. C. Etiam sine exclamatione est *quam*, i. q. *perquam*, *admodum*, *valde*. Phaedr. 230. C: *τὸ εὔπνουν τοῦ τόπου ὡς ἀγαπητὸν καὶ σφόδρα ἡδύ.* Phaed. 60. B: *ὡς ἄτοπον* (nos: *gar seltsam*) *... ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι* cet. Parm. 130. A: *ὡς ἄξιος εἶ ἄγασθαι τῆς ὁρμῆς* cet. Crat. 395. B: *ἃ πρὸς τὸν Θυέστην ὡς ὠμὰ διεπράττετο.* Legg. III. 676. B: *τὸ δέ γε ὡς ἁπλετόν* (v. *ἀπειρόν*) *τι καὶ ἀμήχανον ἂν εἴη.* VII. 816. B: *τούτων δὲ ἓν ... ὡς ὀρθῶς ἅμα καὶ μουσικῶς ὠνόμασεν, ὅστις ποτ' ἦν.* Ion. 535. C: *ὡς ἐναργές μοι τοῦτο ... τεκμήριον εἶπες.* Hinc etiam c. adverb. ita coniungitur ut proprie leniter intendat (vern. *sehr* vel *ganz*), velut *ὡς ἀληθῶς* (Phaedr. 234. E. Theaet. 158. A. al. Etiam c. compar. Pol. I. 347. E: *πότερον ὡς ἀληθεστέρως δοκεῖ σοι λέγεσθαι;*) et *ὡς ἑτέρως* (proprie *ganz anders* et omnino *anders*). Phaedr. 276. C: *τὰ δὲ ὡς ἑτέρως ἂν ... ποιοῖ.* Soph. 266. A: *τὰ δέ γ' ὡς ἑτέρως αὖ διηρημένα* cet. Tim. 63. E. Etiam verti potest *quod tam.* Prot. 315. B: (*ἰδὼν ἥσθην*) *ὡς καλῶς εὐλαβοῦντο* cet. 334. C: *ἀνεθορύβησαν, ὡς εὖ λέγοι.* (Cf. Conv. 198. A.) Phaedr. 230. B: (*πάγκαλον*) *ὡς ἀκμὴν ἔχει τῆς ἄνθης, ὡς ἂν* cet. Phaed. 58. E: *εὐδαίμων γάρ μοι ἀνὴρ ἐφαίνετο ... ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα.* 89. A: (*ἐθαύμασα*) *ὡς ἡδέως ... τὸν λόγον ἀπεδέξατο.* Ib. *ὡς ὀξέως ἤσθετο* cet. Theaet. 142. C: *ἐθαύμασα ... ὡς μαντικῶς ἄλλα τε δὴ εἶπε καὶ περὶ τούτου.* Crit. 43. B: (*θαυμάζω*) *ὡς ἡδέως καθεύδεις.* Ut Lat. *quam*, c. superl. nectitur. Prot. 325. D: *ὅπως ὡς βέλτιστος ἔσται ὁ παῖς.* Gorg. 490. E: *ὡς πλείστῳ σπέρματι χρῆσθαι.* 513. E: *ὅπως ὡς βέλτιστον ἔσται τοῦτο.* Conv. 198. D: *ὡς εὐπρεπέστατα τιθέναι.* Pol. III. 408. D. V. 466. A: (*ὅτι*) *τὴν ... πόλιν ὡς οἷοί τ' εἰμεν εὐδαιμονεστάτην ποιεῖμεν* (Par. A. al. *ποιοῦμεν*). VII. 527. B: *ὡς οἷόν τε μάλιστα.* (III. 387. C: *ὡς οἷόν τε* sine v. *μάλιστα*). VIII. 576. A. Addita coni. *ὅτι.* Conv. 218. D: *τοῦ ὡς ὅτι βέλτιστον ἐμὲ γενέσθαι.* Legg. X. 908. A: *ὅπηπερ ἂν ... ὡς ὅτι μάλιστα ἀγριώτατος ᾖ τόπος.* — In comparatione ponitur. Prot. 327. C: *ὡς πρὸς τοὺς ἰδιώτας.* Polit. 303. A: *ὡς πρὸς τὰς ἄλλας.* Parm. 146. B. Pol. VI. 498. D: *ὡς γε πρὸς τὸν ἅπαντα* (*χρόνον*). VII. 525. C: *ὡς ἐμπόρους ἢ καπήλους.* VIII. 545. E: *ὡς πρὸς παῖδας ἡμᾶς* (i. e. *πρὸς ἡμᾶς ὡς πρὸς παῖδας*). Tim. 91. D: *ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ... ζῷα κατασπείραντες.* Legg. VI. 770. A: *ὡς πρὸς ἡμᾶς.* 778. A. Alc. I. 123. A. Post comparat. Pol. III. 410. D: *μαλακώτεροι αὖ γίγνονται ἢ ὡς κάλλιον αὐτοῖς.* VII. 526. C. In ratione

(relatione) c. dat., velut ὡς ἐμοί, germ. *für mich* (Soph. 226. C: ταχείαν ὡς ἐμοὶ σκέψιν ἐπιτάττεις. Legg. II. 665. B: ὡς γ' ἐξαίφνης ἀκούσαντι. X. 892. E: εἰ δὲ ἄβατος ἦν ὡς ὑμῖν), et *nach meinem Dafürhalten*. Pol. VII. 536. C: οὔκουν ὡς γ' ἐμοὶ ἀκροατῇ. Ἀλλ' ὡς ἐμοὶ ... ῥήτορι. Infinito apposito Soph. 234. E: ὡς γοῦν ἐμοὶ τηλικῷδε ὄντι κρῖναι. — II. *ut* (*dass* et *damit*; etiam ellipt. i. q. *um zu beweisen dass* cet.). Prot. 328. C: τοιοῦτόν σοι ... λόγον εἴρηκα, ὡς διδακτὸν ἀρετή. Gorg. 460. E: ἐγὼ ... ὑπέλαβον ὡς οὐδέποτ' ἂν εἴη ἡ ῥητορικὴ ἄδικον πρᾶγμα cet. Phaed. 61. E: ἤδη δὲ καὶ ἄλλων τινῶν (ἤκουσα) ὡς οὐ δέοι τοῦτο ποιεῖν. 69. D: ταῦτ' ἐγὼ ... ἀπολογοῦμαι, ὡς εἰκότως ... οὐ χαλεπῶς φέρω cet. 108. D: ὡς μέντοι ἀληθῆ, χαλεπώτερόν μοι φαίνεται ἢ cet. Theaet. 152. A: τῶν μὲν ὄντων, ὡς ἔστι, τῶν δὲ μὴ ὄντων, ὡς οὐκ ἔστιν. D: (λόγον) ὡς ἄρα ἓν μὲν αὐτὸ καθ' αὑτὸ οὐδέν ἐστιν cet. Pol. I. 327. C: τὸ ἦν πείσωμεν ὑμᾶς, ὡς χρὴ ἡμᾶς ἀφεῖναι. 330. D: οἱ ... λεγόμενοι μῦθοι ... ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην cet. 338. E: ὡς δὲ προθύμως τοῦτο δρῶ ... εὖ εἴσει αὐτίκα δὴ μάλα cet. V. 461. E: ὡς δὲ ... μακρῷ βελτίστη, δεῖ ... βεβαιώσασθαι παρὰ τοῦ λόγου. 472. D: (ὃς ἄν) μὴ ἔχῃ ἀποδεῖξαι, ὡς καὶ δυνατὸν γενέσθαι τοιοῦτον ἄνδρα. Tim. 52. C: ὁ ... ἀληθὴς λόγος, ὡς cet. Post ὅτι infertur. Pol. V. 470. D. Hipp. mai. 281. C. Ep. VII. 335. E. — Cum coni. Pol. I. 349. C: ἁμιλλήσεται, ὡς ἁπάντων (libri nonnulli ὡς ἂν πάντων) πλεῖστον αὐτὸς λάβῃ. Cum opt. Tim. 92: ὡς μᾶλλον ἐπὶ γῆν ἕλκοιντο. Alc. I. 135. A: τυραννοῦντι ... ὡς μηδὲ ἐπιπλήττοι τις αὐτῷ. Cum infin. (*dass* et *um*). Phaed. 108. E: πέπεισμαι ... ὡς πρῶτον μὲν ... μηδὲν αὐτῇ δεῖν μήτε ἄέρος cet. Pol. II. 365. D: τὰ δὲ βιασόμεθα, ὡς πλεονεκτοῦντες δίκην μὴ διδόναι. Alc. II. 141. B: αὐθημερόν σοι βουλομένου ὡς πάντας αἰσθέσθαι ὅτι cet. Cum vv. dicendi (velut ὡς εἰπεῖν, ὡς ἔπος εἰπεῖν al. (v. V. I. p. 631 sq.) est germ. *um* vel *so zu sagen*. Similiter Pol. V. 475. D: ἀποπώτατοί τινές εἰσιν, ὡς γ' ἐν φιλοσόφοις τιθέναι (nos: *um sie — zu setzen*). In univ. ὡς c. infinit. ponitur ubi nos infinit. vel particip. usurpamus. Pol. IV. 430. E: ὡς γε ἐντεῦθεν ἰδεῖν (nos: *von hieraus betrachtet*). 432. B: ὡς γε οὕτωσὶ δόξαι. Legg. X. 894. A: ὡς ἐν εἴδεσι λαβεῖν μετ' ἀριθμοῦ. al. Sq. partic. est i. q. accus. c. infinit. vel *ut* c. modo finito (si οὕτω vel tale quid antecedit). Prot. 352. B: οὐδὲ ὡς περὶ τοιούτου αὐτοῦ ὄντος (i. e. περὶ αὐτοῦ ὡς τοιούτου ὄντος) διανοοῦνται. Phaed. 94. E: διανοούμενον ὡς ἁρμονίας αὐτῆς οὔσης. Phaedr. 235. A: ἐνδεικνύμενος ὡς οἷός τε ὢν ... ἀμφοτέρως εἰπεῖν ἄριστα. 242. E: εἰπεῖν ὡς τοιούτου ὄντος. Gorg. 472. D: ἄλλο τι ὡς οὕτω σου νομίζοντος διανοώμεθα; 513. E: οὕτως ἡμῖν ἐπιχειρητέον ἐστὶ τῇ πόλει ... ὡς βελτίστους αὐτοὺς τοὺς πολίτας ποιοῦντας. Theaet.

152. D: *ξύμπαντά τε οὕτως (φανεῖται), ὡς μηδενὸς ὄντος ἑνός, μήτε τινὸς μήτε ὁποιουοῦν.* 158. B: *(ὅταν) οἱ δὲ πτηνοί τε καὶ ὡς πετόμενοι ἐν τῷ ὕπνῳ διανοῶνται.* Soph. 263. B: *τὰ μὴ ὄντ' ἄρα ὡς ὄντα λέγει.* Polit. 258. C: *ἁπάσας τὰς ἐπιστήμας ὡς οὔσας δύο εἴδη διανοηθῆναι τὴν ψυχὴν ἡμῶν ποιῆσαι (δεῖ).* Parm. 134. C: *πάντα. ἃ δὴ ὡς ἰδέας αὐτὰς οὔσας ὑπολαμβάνομεν.* 156. D: *τοιόνδε τι ἔοικε σημαίνειν, ὡς ἐξ ἐκείνου μεταβάλλον εἰς ἑκάτερον.* Pol. II. 383. A: *ὡς μήτε αὐτοὺς γόητας ὄντας* (i. q. *ut statuamus neque ipsos praestigiatores esse* cet.). IV. 437. A: *βεβαιούμενοι ὡς οὐκ ἀληθεῖς οὔσας.* Ib. *ὑποθέμενοι ὡς τούτου οὕτως ἔχοντος.* V. 461. C: *οὕτω τιθέναι, ὡς οὐκ οὔσης τροφῆς τῷ τοιούτῳ.* VII. 524. A: *παραγγέλλει τῇ ψυχῇ ὡς ταὐτὸν σκληρόν τε καὶ μαλακὸν αἰσθανομένῃ.* VIII. 560. D: *κοσμίαν δαπάνην ὡς ἀγροικίαν καὶ ἀνελευθερίαν οὖσαν πείθοντες.* Tim. 29. B: *ὧδε ... διοριστέον, ὡς ἄρα τοὺς λόγους ... τούτων αὐτῶν καὶ ξυγγενεῖς ὄντας.* Critia 108. B: *ὡς ὑπαρχούσης αὐτῷ συγγνώμης ἴστω.* Legg. I. 624. A: *μῶν ... λέγεις ὡς τοῦ Μίνω φοιτῶντος πρὸς τὴν τοῦ πατρὸς ... συνουσίαν;* 643. D: *λέγομεν ὡς τὸν μὲν πεπαιδευμένον ἡμῶν ὄντα τινά, τὸν δὲ ἀπαίδευτον.* VII. 816. B: *πολλὰ ... τῶν παλαιῶν ὀνομάτων ὡς εὖ καὶ κατὰ φύσιν κείμενα δεῖ διανοούμενον ἐπαινεῖν.* Sine part. Phil. 57. B: *εἰς δόξαν καταστήσας ὡς μιᾶς* (int. *οὔσης*). Pol. V. 449. C: *ὡς ἄρα ... παντὶ δῆλον ὅτι* cet. Cum part. futuri praec. in consilio ponitur (germ. *um*) et in univ. in cogitatione. Prot. 312. A: *ὡς τίς γεννησόμενος ἔρχει παρὰ τὸν Πρωταγόραν;* B: *οὐκ ἐπὶ τέχνῃ ἔμαθες, ὡς δημιουργὸς ἐσόμενος.* 335. D: *ἤδη ... ἀνεστήκη ὡς ἐξιών.* Conv. 185. A: *ὡς ἀμείνων ἐσόμενος διὰ τὴν φιλίαν τοῦ ἐράστου.* 198. D: *καὶ πάνυ δὴ μέγα ἐφρονοῦν ὡς εὖ ἐρῶν.* 213. A: *περιαιρούμενον ἅμα τὰς ταινίας ὡς ἀναδήσοντα.* 217. C: *συνεγυμναζόμην ὥς τι ἐνταῦθα περανῶν* (int. *cogitans* vel *sperans*). Pol. I. 327. C: *δοκεῖτέ μοι πρὸς ἄστυ ὡρμῆσθαι ὡς ἀπιόντες.* V. 470. E: *διανοεῖσθαι ὡς διαλλαγησομένων καὶ οὐκ ἀεὶ πολεμησόντων.* 471. A: *ὡς διαλλαγησόμενοι ... διοίσονται.* Saepius in coni. *ὡς* c. part. latet *ponens, sumens, arbitrans* vel tale quid. Prot. 328. D: *ἔτι πρὸς αὐτὸν ἔβλεπον ὡς ἐροῦντά τι.* Phaed. 77. E: *ὡς δεδιότων* (int. *ἡμῶν*) *... πειρῶ ἀναπείθειν.* 96. A: *ἄκουε τοίνυν ὡς ἐροῦντος* (int. *ἐμοῦ*). Phaedr. 375. C: *ὁ παραδεχόμενος, ὥς τι σαφὲς καὶ βέβαιον ἐκ γραμμάτων ἐσόμενον (εἰσόμενος?).* Theaet. 178. A: *ὡς ἐσομένους ὠφελίμους τοὺς νόμους τιθέμεθα εἰς τὸν ἔπειτα χρόνον.* — III. in ratione causaque positum valet *quia, quippe, utpote.* Gorg. 509. E: *ὡς, ἐὰν μὴ μάθῃ αὐτὰ καὶ ἀσκήσῃ, ἀδικήσει.* 512. C: *παρακαλῶι ἐπὶ τὸ δεῖν γίγνεσθαι μηχανοποιούς, ὡς οὐδὲν τἆλλα ἐστίν.* Crat. 418. D: *ὡς δὴ ἡ ἡμέρα ἥμερα ποιεῖ, διὰ ταῦτα ὠνομάσθαι αὐτὴν οὕτως.* Tim. 58. B: *ὡς*

λεπτότητι δεύτερος ἔφυ. Legg. XI. 926. A. Sic etiam c. subst. Phaedr. 258. E: ὡς ἐν πνίγει (quippe *in calore*, int. in quo solent canere). Pol. I. 327. C: ὡς ἀπὸ πομπῆς. 330. C: περὶ τὰ χρήματα σπουδάζουσιν, ὡς ἔργον ἑαυτῶν. V. 471. B: οὔτε τὴν γῆν ἐθελήσουσι κείρειν αὐτῶν, ὡς φίλων τῶν πολλῶν cet. Euth. 4. D: ἠμέλει, ὡς ἀνδροφόνου cet. Cum particip. est *quia* vel *quum* c. verbo fin., *quippe*, *utpote*; etiam i. q. *licet* c. modo finito. Prot. 323. A: ὡς παντὶ προσῆκον ταύτης γε μετέχειν τῆς ἀρετῆς. 341. B: ὡς τοῦ δεινοῦ κακοῦ ὄντος. Phaed. 58. E: οὔτε γὰρ ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσῄει cet. 59. B: οὔτε αὖ ἡδονὴ (int. μοι εἰσῄει), ὡς ἐν φιλοσοφίᾳ ἡμῶν ὄντων. Soph. 226. C: ὡς περὶ ταὐτὰ μίαν οὖσαν ἐν ἅπασι τέχνην ἑνὸς ὀνόματος ἀξιώσομεν αὐτήν. Phil. 65. C: ὡς ... τῶν ἡδονῶν νοῦν οὐδὲ τὸν ὀλίγιστον κεκτημένων. 66. A: ὡς φῶς οὐ δέον ὁρᾶν αὐτά. Pol. I. 345. E: μισθὸν αἰτοῦσιν, ὡς οὐχὶ αὐτοῖσιν ὠφέλειαν ἐσομένην ἐκ τοῦ ἄρχειν, ἀλλὰ τοῖς ἀρχομένοις. IV. 424. E: ὡς ... ἀδύνατον ὄν (*quia fieri non potest* cet.). 426. C: ὡς ἀποθανουμένους (v. ἀποθανούμενον) ὃς ἂν τοῦτο δρᾷ. X. 604. B: ὡς οὔτε δήλου ὄντος τοῦ ἀγαθοῦ τε καὶ κακοῦ τῶν τοιούτων (seq. nominat. absol.). Tim. 40. E: ὡς οἰκεῖα φάσκουσιν ἀπαγγέλλειν ... πιστευτέον. 78. D: ὡς ὄντος τοῦ σώματος μανοῦ. Legg. VI. 778. E: ὡς δὴ τῶν ὅρων τῆς χώρας οὐκ ἐάσοντας ἐπιβαίνειν. Crit. 44. C: ἔτι δὲ καὶ πολλοῖς δόξω, ὡς οἷός τ' ὢν (*quippe qui*, i. q. *licet* — *potuerim*) σε σώζειν ... ἀμελῆσαι. Etiam sine partic. Prot. 323. B: ὡς ἀναγκαῖον οὐδένα ὄντιν' οὐχὶ ἀμισγέπως μετέχειν αὐτῆς. Phaedr. 239. D: τοῦτο ... ὡς δῆλον ἐατέον. Gorg. 495. C: ἄλλο τι οὖν ὡς ἕτερον τὴν ἀνδρείαν τῆς ἐπιστήμης δύο ταῦτα ἔλεγες; Theaet. 162. E. Pol. II. 358. C. V. 457. D. al. **etenim*, *nam*. Prot. 310. E: ὡς οὔτ' ἂν τῶν ἐμῶν ἐπιλίποιμι οὐδὲν οὔτε φίλων. 335. D: ὡς ἐγὼ οὐδ' ἂν ἑνὸς ἥδιον ἀκούσαιμι ἢ σοῦ cet. Phaedr. 228. C: ὡς μοι δοκεῖς οὐ σύδαμῶς με ἀφήσειν. 262. C: ὡς νῦν γε ψιλῶς πως λέγομεν. Gorg. 455. C: ὡς ἐγώ τινας σχεδὸν καὶ συχνοὺς αἰσθάνομαι οἳ cet. 481. B: ὡς ἔν γε τοῖς πρόσθεν οὐδαμῇ ἐφάνη οὖσα. Phaed. 91. A: ὡς κινδυνεύω ἔγωγε ... οὐ φιλοσόφως ἔχειν cet. 107. A: ὡς οὐκ οἶδα cet. Conv. 189. B: ὡς ἐγὼ φοβοῦμαι ... οὔ τι μὴ γελοῖα εἴπω cet. Pol. I. 336. D: ὡς ἐγὼ οὐκ ἀποδέξομαι ἐὰν ὑθλους τοιούτους λέγῃς. IV. 420. E. al. **tanquam*, *instar* (germ. *als* vel *wie*). Prot. 315. D: ᾧ πρὸ τοῦ ὡς ταμιείῳ ἐχρῆτο Ἱππόνικος. 323. B: νουθετοῦσιν ὡς μαινόμενον. Phaedr. 251. A: ὡς θεὸν σέβεται. 260. C: μὴ περὶ ὄνου σκιᾶς ὡς ἵππου τὸν ἔπαινον ποιούμενος. 279. B: ταῦτα ... ἐγὼ ... ὡς ἐμοῖς παιδικοῖς Ἰσοκράτει ἐξαγγελῶ. Crat. 404. B: Δημήτηρ ... φαίνεται ... ὡς μήτηρ κεκλῆσθαι. Phil. 55. A: ἐάν τις τὴν ἡδονὴν ὡς ἀγαθὸν ἡμῖν τιθῆται. D: τὰ μὲν ὡς καθαρώτατα νομίζειν.

Conv. 203. D: οὔτε ὡς ἀθάνατος πέφυκεν οὔτε ὡς θνητός. 212. C: τοῦτον ... τὸν λόγον ... ὡς ἐγκώμιον εἰς Ἔρωτα νόμισον εἰρῆσθαι cet. Pol. I. 328. D: δεῦρο παρ' ἡμᾶς φοίτα ὡς παρὰ φίλους τε καὶ πάνυ οἰκείους. III. 389. A: προσκυνοῖμεν ἂν αὐτὸν ὡς ἱερὸν καὶ θαυμαστὸν καὶ ἡδύν. B: ὡς ἐν φαρμάκου εἴδει. IV. 431. A: ὡς ἐν ὀνείδει ψέγειν. V. 469. A: ὡς δαιμόνων, οὕτω θεραπεύσομεν ... αὐτῶν τὰς θήκας. VI. 493. B: ὡς τέχνην συστησάμενος (τὴν σοφίαν). VII. 525. A: ἅμα γὰρ ταὐτὸν ὡς ἕν τε ὁρῶμεν καὶ ὡς ἄπειρα τὸ πλῆθος. Tim. 27. B: εἰσαγαγόντα αὐτοὺς ὡς εἰς δικαστὰς ἡμᾶς. Legg. VI. 767. A: θέντες ... τοὺς δικαστὰς ὡς ἄρχοντας. Hoc sensu part. ὡς etiam omittitur. Legg. VIII. 836. A: τῶν ἐρώτων ... γυναικῶν ἀνδρῶν (i. e. *pro viris*) καὶ ἀνδρῶν γυναικῶν (*instar mulierum*). IX. 854. E: παράδειγμα (*als Beispiel*) ὀνήσει. X. 903. B: ἐπῳδῶν (*tanquam cantionibus*) γε μὴν προσδεῖσθαί μοι δοκεῖ μύθων ἔτι τινῶν. Similiter ὡς antec. omittitur. Theaet. 167. E. Pol. IX. 576. A. — Etiam *quasi* (*so als* vel *als wenn*). Prot. 313. B: ὡς ἤδη διεγνωκώς, ὅτι πάντως συνεστέον Πρωταγόρᾳ. Phaedr. 242. E: τὸ σεμνύνεσθαι ὡς τι ὄντε. Gorg. 518. A: ὁμολογεῖς ὡς εἰδὼς ὅ τι λέγω. Theaet. 195. D: καλλωπιζόμενος ὥς τι εὑρηκότων ἡμῶν καλόν. Soph. 242. C: μῦθόν τινα ... φαίνεταί μοι διηγεῖσθαι παισὶν ὡς οὖσιν ἡμῖν. Cum irrisione quadam plerumque ponitur ὡς δή. Prot. 342. D: ὡς δὴ τούτοις κρατοῦντας τῶν Ἑλλήνων τοὺς Λακεδαιμονίους. Phaedr. 228. C: ἐθρύπτετο, ὡς δὴ οὐκ ἐπιθυμιῶν λέγειν. Gorg. 468. E: ὡς δὴ σὺ ... οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποιεῖν ὅ τι δοκεῖ σοι cet. 499. B: ὡς δὴ σὺ οἴει ἐμὲ ... οὐχ ἡγεῖσθαι τὰς μὲν βελτίους ἡδονάς, τὰς δὲ χείρους; (sic enim videtur interpung.). Conv. 222. D: ὡς ἐν παρέργῳ δὴ λέγων. Pol. I. 337. C: εἶεν ... ὡς δὴ ὅμοιον τοῦτο ἐκείνῳ. Theag. 123. A. Euthyd. 293. D. Accedente part. τοί fortis est affirmatio (*nimirum enim*). Phaedr. 242. C: ὡς δή τοι ... μαντικόν γέ τι καὶ ἡ ψυχή. Pol. II. 366. C: ὡς δή τοι ... πολλὴν που συγγνώμην ἔχει cet. Tim. 26. B: ὡς δή τοι ... τὰ παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνημεῖον. — Etiam ponitur ita ut verti possit *velut* vel *nempe*. Phaedr. 267. C: ὡς διπλασιολογίαν cet. Phil. 44. D: οἶμαι γὰρ τοιόνδε τι λέγειν αὐτοὺς ... ὡς cet. Legg. I. 642. C: εἴ τι μέμφοιντο ἢ καὶ ἐπαινοῖεν Λακεδαιμόνιοι Ἀθηναίους, ὡς ἡ πόλις ὑμῶν ... ἔφασαν, ἡμᾶς οὐ καλῶς ἢ καλῶς ἐρρέξε. Etiam Phaed. 60. E. Cl. et Tub. scribunt ὡς ὅτι pro simpl. ὅτι. — Etiam redundat. Pol. VIII. 561. D: ἔστι δ' ὅτε ἀργῶν ... τοτὲ δ' ὡς ἐν φιλοσοφίᾳ διατρίβων. Similiter III. 415. A: ἔστε ... πάντες οἱ ἐν τῇ πόλει ἀδελφοί, ὡς φήσομεν (i. q. simpl. φήσομεν) πρὸς αὐτοὺς μυθολογοῦντες. V. 452. B: ὥς γε ἐν τῷ παρόντι. Alc. I. 127. D: ὡς ἐκ τοῦ σοῦ λόγου. — Verbis appellandi adiungitur. Phaed. 99. B: ὡς αἴτιον αὐτὸ

προσαγορεύειν. Pol. V. 463. B: εἴ τίς τινα ἔχοι προσειπεῖν τῶν ξυναρχόντων τὸν μὲν ὡς οἰκεῖον, τὸν δὲ ὡς ἀλλότριον. — In tempore positum sonat *quum, postquam* (Prot. 316. A: ἡμεῖς ... ὡς εἰσήλθομεν cet. Phaed. 117. C: ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα cet. Pol. I. 336. B.), in numero est *admodum, fere.* Gorg. 471. C: παῖδα ὡς ἑπταετῆ (ἑπτέτη?). Critia 113. C: σταδίους ὡς πεντήκοντα ἀφεστός. Similiter reddi potest *fere* (germ. *fast*) in loquutionibus ὡς τὸ πολύ (Pol. I. 330. C.), ὡς ἐπὶ τὸ πολύ (Theaet. 153. B. Polit. 294. E. 295. A. Pol. II. 377. B. Legg. VII. 792. B.), ὡς ἐπὶ τὸ πλῆθος (Phaedr. 275. B. Pol. I. 364. A.) et ὡς πλήθει (Pol. III. 389. D.). — Pro praep. πρός. Eryx. 392. C: πεπόμφασι δὲ καὶ νῦν ὡς ἡμᾶς πρέσβεις. ὡς ἄν εἰ, *perinde ac si.* Prot. 344. B: ὡς ἂν εἰ λέγοι. — ὡς δ' αὕτως, i. q. ὡσαύτως δέ. Prot. 313. D. Phaedr. 240. E. 275. E. Phaed. 102. E. Polit. 310. D. Legg. V. 728. E. al.

ὥς, i. q. οὕτως. Prot. 326. D: ὥσπερ οἱ γραμματισταὶ ... ἀναγκάζουσι γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμῶν, ὡς δὲ καὶ ἡ πόλις ... ἀναγκάζει cet. 338. A: ὡς οὖν ποιήσετε (quae verba sunt Hippiae grandiloqui). Praec. ὡς — ὡς. Phaedr. 241. D. (vers.). Pol. VII. 530. D: ὡς πρὸς ἀστρονομίαν ὄμματα πέπηγεν, ὡς πρὸς ἐναρμόνιον φορὰν ὦτα παγῆναι.

ὡσαύτως, *eodem modo, itidem.* Prot. 351. C: τὰ ἀνιαρὰ ὡσαύτως οὕτως οὐ καθ' ὅσον ἀνιαρὰ κακά; Gorg. 460. D: ὡσαύτως δὲ οὕτως (sic Cl. c. al. Vulgo οὕτω) καὶ ἐὰν cet. 474. E: οὐ καὶ τὰς φωνὰς ... ὡσαύτως; Phaed. 72. D: οἷον anteced. 78. D: πότερον ὡσαύτως ἀεὶ ἔχει κατὰ ταὐτά, ἢ ἄλλοτ' ἄλλως; Ib. ὡσαύτως καὶ κατὰ ταὐτὰ ἔχει. 110. D: καὶ αὖ τὰ ὄρη ὡσαύτως ... ἔχειν. Theaet. 156. C: ἀκοαῖς δὲ ὡσαύτως φωναί. Soph. 248. B: ἣν (οὐσίαν) ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχειν φατέ. Phil. 56. B: ὡσαύτως εὑρήσομεν ἐχούσας. Conv. 186. E: ὡσαύτως δὲ καὶ γυμναστικὴ καὶ γεωργία. Pol. III. 398. D: πρὸς τὸ ἐν τοῖς αὐτοῖς δεῖν τύποις λέγεσθαι ... καὶ ὡσαύτως. Tim. 41. D: οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως (μίσγων). 82. B: μόνον ... ταὐτὸ ταὐτῷ κατὰ ταὐτὸ καὶ ὡσαύτως καὶ ἀνὰ λόγον προσγιγνόμενον καὶ ἀπογιγνόμενον cet. Legg. IX. 868. D: (ἐὰν) γυνὴ ἑαυτῆς ἄνδρα ταὐτὸν τοῦτο ὡσαυτως ἐργάσηται. 872. A. al.

ὠσία. Crat. 401. C: ὃ ἡμεῖς οὐσίαν καλοῦμεν, εἰσὶν οἳ ἐσίαν καλοῦσιν, οἳ δ' αὖ ὠσίαν. D.

ὥσπερ, *sicut, quemadmodum.* Prot. 311. E: τί ὄνομα ἄλλο γε λεγόμενον περὶ Πρωταγόρου ἀκούομεν, ὥσπερ περὶ Φειδίου ἀγαλματοποιόν —; 316. E: ὥσπερ λέγω. 327. D: ἐν τοῖς τοιούτοις ἀνθρώποις ... ὥσπερ οἱ cet. 352. B: πότερον καὶ τοῦτό σοι δοκεῖ ὥσπερ τοῖς πολλοῖς ἀνθρώποις —; Phaed. 86. A: εἴ τις διισχυρίζοιτο τῷ αὐτῷ λόγῳ ὥσπερ σύ. (Sic Legg. II. 671. C: τοῦτον εἶναι τὸν πλάστην τὸν αὐτὸν ὥσπερ τότε. Lys. 209. C: τῷ γείτονι ἆρ' οὐχ ὁ αὐτὸς ὅρος

ὥσπερ τῷ πατρὶ περὶ σοῦ;) Phaed. 86. B: ὅτι τοιοῦτόν τι μάλιστα ὑπολαμβάνομεν τὴν ψυχὴν εἶναι, ὥσπερ ἐντεταμένου τοῦ σώματος ἡμῶν ... ὑπὸ θερμοῦ cet. Conv. 187. A: ξυμφέρεσθαι, ὥσπερ ἁρμονίαν τόξου τε καὶ λύρας. B: ὥσπερ γε καὶ ὁ ῥυθμὸς ... γέγονε. 205. B: ὥσπερ τί; — ὥσπερ τόδε (respons.). Pol. I. 330. C: ὥσπερ γὰρ οἱ ποιηταὶ τὰ αὑτῶν ποιήματα ... ἀγαπῶσι, ταύτῃ τε δὴ καὶ cet. 343. B: ἄλλως πως ... ἢ ὥσπερ cet. Lys. 218. C: ἔχαιρον, ὥσπερ θηρευτής τις. Cum genit. Pol. X. 612. D: ὥσπερ ἔχει δόξης καὶ παρὰ θεῶν καὶ παρὰ ἀνθρώπων, καὶ ἡμᾶς ὁμολογεῖν περὶ αὐτῆς δοκεῖσθαι οὕτω. De dict. οὐχ ὥσπερ v. II. p. 487. Est *velut, exempli causa* (apodosi non subsequente). Gorg. 451. A. Pol. IV. 420. C. sq. Etiam *tanquam* et *quasi*. Gorg. 448. E: ὥσπερ τινὸς ψέγοντος. Phaed. 60. B: ὥσπερ ἐκ μιᾶς κορυφῆς συνημμένω δύ' ὄντε. Crat. 418. E: ὥσπερ ἀδελφὸν ὂν τοῦ βλαβεροῦ. Pol. I. 329. C: ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών. II. 376. D: ὥσπερ ἐν μύθῳ μυθολογοῦντές τε καὶ σχολὴν ἄγοντες. III. 393. A: ὥσπερ αὐτὸς ὤν. V. 451. B: ἀφίεμέν σε ὥσπερ φόνου καθαρὸν εἶναι. VII. 532. E: ὥσπερ ὁδοῦ ἀνάπαυλα. Apol. 24. B: ὥσπερ ἑτέρων τούτων ὄντων κατηγόρων. Etiam verti potest *quippe*. Pol. I. 330. E: ὥσπερ ἤδη ἐγγυτέρω ὢν τῶν ἐκεῖ. Leniore sensu positum verti potest *fere, quodammodo* vel tali modo. Prot. 346. A: τοὺς ... πονηροὺς ... ὥσπερ ἀσμένους ὁρᾶν cet. Phaedr. 260. E: ὥσπερ γὰρ ἀκούειν δοκῶ τινῶν προσιόντων ... λόγων, ὅτι ψεύδεται cet. 270. D: ἡ γοῦν ἄνευ τούτων μέθοδος ἔοικοι ἂν ὥσπερ τυφλοῦ πορεία. Phaed. 67. C: ὡς ἡγεῖται οἱ παρεσκευάσθαι τὴν διάνοιαν ὥσπερ κεκαθαρμένην. 88. D: ὥσπερ ὑπέμνησέ με ῥηθεὶς (ὁ λόγος) ὅτι cet. Crat. 384. C: ὥσπερ ὑποπτεύω αὐτὸν σκώπτειν. 399. D: ὥσπερ τοίνυν μοι δοκεῖ τούτοις ἐξῆς εἶναί τι χρῆμα. 412. A: σύνεσις ... οὕτω μὲν δόξειεν ἂν ὥσπερ συλλογισμὸς εἶναι. Menex. 235. C: ὥστε ἴσως ἀναγκασθήσεται ὁ λέγων ὥσπερ αὐτοσχεδιάζειν. Sis. 388. B: ὥσπερ γὰρ ἂν καὶ αὐτὸς ὑπομαντεύεσθαί μοι δοκῶ τὴν διάνοιάν σου περὶ τοῦ εὖ βουλεύεσθαι. — Cum part. ἄν. Phaedr. 268. D: ὥσπερ ἂν μουσικὸς ... οὐκ ἀγρίως εἴποι ἄν cet. Apol. 15. D: ὥσπερ οὖν ἄν ... ξυνεγιγνώκετε δήπου ἄν μοι ... καὶ δὴ καὶ νῦν cet. — ὥσπερ ἄν εἰ. Prot. 311. B: ὥσπερ ἂν εἰ ἐπενόεις ... εἴ τίς σε ἤρετο cet. 341. C. Gorg. 453. C: ὥσπερ ἂν εἰ ἐτύγχανόν σε ἐρωτῶν ... εἴ μοι εἶπες cet. Conv. 199. D: ὥσπερ ἂν εἰ αὐτὸ τοῦτο, πατέρα, ἠρώτων cet. Sq. optat. Prot. 318. B. 327. E: ὥσπερ ἂν εἰ ζητοῖς cet. 335. E. Gorg. 451. A. 479. A. Crat. 395. E. 430. A. Conv. 404. E. Pol. VII. 529. D. De ὥσπερ οὖν v. II. p. 490.

ὡσπερανεί, *velut, instar*. Gorg. 479. A: ὡσπερανεὶ (v. ὥσπερ ἂν εἰ) παῖς.

ὡσπερεί, *quasi*. Prot. 328. D: ἐμαυτὸν ὡσπερεὶ συν-

αγείρας. 339. E. Phaed. 72. B: *ὥσπερεὶ κύκλῳ περιιόντα.* Crat. 407. B: *ὥσπερεὶ λέγει ὅτι* cet. 408. A: *τοῦτον τὸν θεὸν ὥσπερεὶ ἐπιτάττει ἡμῖν ὁ νομοθέτης.* 422. A: *ἃ ὥσπερεὶ στοιχεῖα τῶν ἄλλων ἐστὶ καὶ λόγων καὶ ὀνομάτων.* Lys. 216. D.

ὥστε, ut (in consequutione), i. q. *ita ut, quocirca, itaque* (in orat. init.). Prot. 311. A: *ὥστε ... καταληψόμεθα αὐτὸν ... ἔνδον.* 335. D: *ὥστε βουλοίμην ἂν χαρίσασθαί σοι, εἴ μου δυνατὰ δέοιο.* 345. B: *ὥστε καὶ τοῦτο τοῦ ἄσματος πρὸς τοῦτο τείνει ὅτι* cet. Gorg. 464. D: *ὥστε δοκεῖ πλείστου ἀξία εἶναι.* 478. C: *ὥστε λυσιτελεῖ ὑπομιμνήσκειν τὴν ἀλγηδόνα.* Phaed. 67. B. Polit. 299. E: *ὥστε ὁ βίος ... ἀβίωτος γίγνοιτ' ἂν τὸ παράπαν.* Conv. 190. D: *ὥστ' ἐφ' ἑνὸς πορεύσονται σκέλους ἀσκωλιάζοντες.* Pol. I. 340. E: *ὥστε κατὰ τὸν ἀκριβῆ λόγον ... οὐδεὶς τῶν δημιουργῶν ἁμαρτάνει.* 341. A: *ὥστε ... δίκαιον λέγω* cet. 354. B: *ὥστε μοι νυνὶ γέγονεν ἐκ τοῦ διαλόγου μηδὲν εἰδέναι.* II. 358. E. IX. 582. C. Tim. 20. C. Legg. II. 664. A: *ὥστε οὐδὲν ἄλλο αὐτὸν δεῖ σκοποῦντα ἀνευρίσκειν ἢ* cet. V. 743. C: *ὥστε ὁ λόγος ἡμῖν ὀρθὸς ὡς* cet. Alc. II. 149. E: *ὥστε οὐδὲν αὐτοῖς ἦν προὔργου θύειν* cet. Simpl. *ut.* Phaedr. 257. E: *οὕτως ἀγαπῶσι τοὺς ἐπαινέτας, ὥστε προσπαραγράφουσι πρώτους οἵ ἄν* cet. Gorg. 478. E. Phaed. 103. E. 104. A. al. Sq. infin. Prot. 312. A: *ἤδη γὰρ ὑπέφαινέ τι ἡμέρας, ὥστε καταφανῆ αὐτὸν γενέσθαι.* 317. B: *ὥστε ... μηδὲν δεινὸν πάσχειν διὰ τὸ ὁμολογεῖν σοφιστὴς εἶναι.* Phaedr. 250. A: *οὔθ' αἱ ... ἐδυστύχησαν, ὥστε ... λήθην ... ἔχειν.* Gorg. 458. C: *ἐμοὶ ... καὶ αὐτῷ μὴ γένοιτο τοσαύτη ἀσχολία, ὥστε ... προὐργιαίτερόν τι γενέσθαι ἄλλο πράττειν.* Polit. 270. A. 301. C. Crat. 393. E: *οὐδὲν ἐλύπησεν, ὥστε μὴ οὐχὶ τὴν ἐκείνου τοῦ στοιχείου φύσιν δηλῶσαι* cet. Conv. 210. B. Pol. X. 608. B. Legg. IX. 880. B: *ὥστε μὴ οὐκ ἐπὶ πᾶσαν ἰέναι κάκην.* Hipp. min. 372. E: (*αἰτίους*) *ὥστε φαίνεσθαι* cet. — I. q. Lat. *ad* c. gerund. Prot. 314. B: *ἡμεῖς ἔτι νέοι ὥστε τοσοῦτο πρᾶγμα διελέσθαι.* Plerumque vero simplex ponitur infinitivus. Prot. 329. B: *σμικροῦ τινὸς ἐνδεής εἰμι πάντ' ἔχειν.* (Cf. Ep. VIII. 353. D.). Phaedr. 228. E: *ἐμαυτόν σοι ἐμμελετᾶν παρέχειν* (nos: *mich dir zum Einüben herzugeben*). 229. B: *πόα καθίζεσθαι.* Ib. *ἐπιτήδεια* (*τὰ ὑδάτια*) *κόραις παίζειν παρ' αὐτά.* Pol. VII. 531. C: *οὐκ εἰς προβλήματα ἀνίασιν ἐπισκοπεῖν* (nos: *um zu erforschen*), *τίνες ξυμφωνοι ἀριθμοὶ καὶ τίνες οὔ.* Tim. 80. E: *ἃ θεὸς ἐπ' αὐτὸ τοῦθ' ἡμῖν ἐφύτευσεν, εἶναι τροφήν.* Legg. II. 663. E. IX. 857. A. Menex. 239. B. — Cum nominat. Polit. 295. A: *ὥστε ... παρακαθήμενος ... προστάττειν.* Pol. I. 345. D: *ἐπεὶ τά γε αὐτῆς, ὥστε εἶναι βελτίστη, ἱκανῶς δήπου ἐκπεπόρισται.* Legg. VII. 806. A: *ὥστ' ... οὔτ' ἂν τοξων ... οὔτ' ἄλλης κοινωνῆσαί ποτε βολῆς ... δυνάμεναι, οὐδὲ ἀσπίδα καὶ δόρυ λαβοῦσαι μιμήσασθαι τὴν θεόν.* —

Pro simpl. infinitivo. Prot. 338. C: *ἀδύνατον ὑμῖν ὥστε ... σοφώτερόν τινα ἑλέσθαι.* Phaedr. 269. D: *τὸ ... δύνασθαι ... ὥστε ἀγωνιστὴν τέλεον γενέσθαι* cet. Similiter Gorg. 461. B: *οὐκ ὀλίγης συνουσίας ἐστὶν ὥστε ἱκανῶς διασκέψασθαι.* Polit. 295. A: *πῶς ... ἂν τις ἱκανὸς γένοιτ' ἄν ποτε ... ὥστε ... ἑκάστῳ ... προστάττειν τὸ προσῆκον;* Pol. IV. 433. B: *ὃ πᾶσιν ἐκείνοις τὴν δύναμιν παρέσχεν ὥστε ἐγγενέσθαι.* (Cf. Ion. 533. D.). IX. 578. C. Legg. IV. 709. E: *ὃ λαβὼν ἕξεις ὥστ' ἐκ τῶν λοιπῶν αὐτὸν τὴν πόλιν ἱκανῶς διοικῆσαι.* Crit. 51. A: *ἐξέσται σοι ὥστε ... καὶ σὺ ... ἐπιχειρήσεις ἀνταπολλύναι.* — I. q. *ὡς, sicut.* Phaedr. 266. B: *ὥστε θεοῖο* (ad Homeric. versum fictum). Pol. II. 363. B. (Hom.).

ὠφέλεια (etiam *ὠφελία* codd. scribunt: Lys. 214. E. 217. A. Charm. 165. C. Euthyd. 275. E. al.), *ἡ, utilitas, commodum.* Pol. I. 346. D: *οὐκ ἄρα ἀπὸ τῆς αὑτοῦ τέχνης ἑκάστῳ αὕτη ἡ ὠφέλειά ἐστιν, ἡ τοῦ μισθοῦ λῆψις* cet. Legg. VI. 761. D: *ταῦτα ... καὶ τὰ τοιαῦτα πάντα κόσμιος τε καὶ ὠφέλεια τοῖς τόποις γίγνοιτ' ἄν* cet. Charm. 167. B: *τίς ἂν εἴη ἡμῖν ὠφέλεια* (Cl. c. al. *ὠφελία*) *εἰδόσιν αὐτό.* Phaedr. 274. E: *τίν' ἔχει μοῖραν βλάβης τε καὶ ὠφελείας.* Pol. III. 398. B: *ὠφελείας ἕνεκα.* Theag. 130. E: *τῆς ὠφελείας ἣν ὠφελοῦσι τοὺς ἀνθρώπους.* Charm. 175. A: *οὐδεμιᾶς ὠφελείας* (Cl. c. al. *ὠφελίας*) *οὖσα δημιουργός.* Lys. 217. A: *οὐδ' ὠφελείας* (*δεῖται*). Phaedr. 245. B: *οὐκ ἐπ' ὠφελείᾳ.* Pol. I. 334. B: *ἐπ' ὠφελείᾳ ... τῶν φίλων.* III. 389. B: *ἐπ' ὠφελείᾳ τῆς πόλεως.* Phaedr. 233. B: *τὴν μέλλουσαν ὠφέλειαν ἔσεσθαι.* 234. C: *ὠφέλειαν ... ἀμφοῖν γίγνεσθαι* (*δεῖ*). 237. D: *εἴτε ὠφέλειαν εἴτε βλάβην παρέχει.* 247. D: *ἥντινα ἑκάστη ἔχοι ὠφέλειαν.* Pol. I. 346. C: *ἥντινα ... ὠφέλειαν κοινῇ ὠφελοῦνται πάντες οἱ δημιουργοί.* VII. 527. E: *ἄλλην γὰρ ἀπ' αὐτῶν οὐχ ὁρῶσιν ἀξίαν λόγου ὠφέλειαν.* VIII. 559. B: *εἴ πῃ τινα ὠφέλειαν πρὸς εὐεξίαν παρέχεται.* Tim. 46. E: *τὸ ... μέγιστον αὐτῶν εἰς ὠφέλειαν ἔργον.* Euthyd. 275. E: *ἴσως ... ὠφελεῖ τὴν μεγίστην ὠφέλειαν* (Cl. c. al. *ὠφελίαν*). Hipp. mai. 284. D. Gorg. 509. C: *ὥστε ἀμφοτέρας τὰς ὠφελείας ταύτας ἔχειν.* 522. B: *ἃς οὗτοι εὐεργεσίας καὶ ὠφελείας νομίζουσιν.* Pol. I. 332. D: *ἡ τοῖς φίλοις τε καὶ ἐχθροῖς ὠφελείας τε καὶ βλάβας ἀποδιδοῦσα.* Lach. 184. B: *εἴτε οὕτω σμικρὰς ὠφελείας* (Cl. *ὠφελίας*) *ἔχει μάθημα ὄν.*

ὠφέλιμος, ὁ ἡ (etiam *η, ον*), *utilis, commodus.* Men. 98. C: *ὅ γε ἀγαθὸς ἀνὴρ ὠφέλιμος ἡμῖν ὡμολόγηται εἶναι.* Pol. VIII. 559. B: *ἥ τε ὠφέλιμος* (*ἡ τοῦ φαγεῖν ἐπιθυμία*) cet. X. 607. D: *ὡς οὐ μόνον ἡδεῖα, ἀλλὰ καὶ ὠφελίμη πρὸς τὰς πολιτείας ... ἐστί.* E. Charm. 174. D. Men. 96. C. Prot. 358. B: *καί τὸ καλὸν ἔργον ἀγαθόν τε καὶ ὠφέλιμον.* Phaedr. 260. C: *ἄλλα πολλὰ ὠφέλιμον.* Crat. 417. C: *ὠφέλιμον ... ξενικὸν τοὔνομα* cet. 419. A: *ὠφέλιμον καὶ λυσιτελοῦν καὶ*

κερδαλέον ... τὸ αὐτὸ φαίνεται. Pol. I. 336. D. II. 379. B: ὠφέλιμον τὸ ἀγαθόν; V. 457. B: ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. Hipp. mai. 296. E: τό γε ὠφέλιμον τὸ ποιοῦν ἀγαθόν ἐστιν. 303. E. Def. 414. E: (ὠφ.) τὸ αἴτιον τοῦ ἀγαθοῦ. Pol. V. 457. D: τοῦ ὠφελίμου (περι). Alc. II. 145. C: ἡ τοῦ ὠφελίμου (ἐπιστήμη). Men. 88. C (εἰ) ἀναγκαῖον αὐτῷ ὠφελίμῳ εἶναι. Hipp. mai. 303. E: ἡδονὴν ὠφέλιμον. Men. 88. D: ὠφελιμόν γε οὖσαν τὴν ἀρετήν. Pol. I. 346. E: ὅτι οὐδεμία τέχνη οὐδὲ ἀρχὴ τὸ αὑτῇ ὠφέλιμον παρασκευάζει. Charm. 169. B: ὠφέλιμόν τι κἀγαθὸν ... εἶναι. Men. 98. E. 99. A: δυοῖν ... ὄντοιν ἀγαθοῖν καὶ ὠφελίμοιν cet. 87. E: εἰ δὲ ἀγαθοί, ὠφέλιμοι. 98. C: ὠφέλιμοι ταῖς πόλεσιν. Gorg. 499. C: ἆρ' οὖν ἀγαθαὶ ... αἱ ὠφέλιμοι (ἡδοναί) —; Prot. 333. E: κἂν μὴ τοῖς ἀνθρώποις ὠφέλιμα ᾖ. Crat. 417. A: ὠφέλιμα καὶ κερδαλέα. Men. 87. E: πάντα γὰρ ἀγαθὰ ὠφέλιμα. 96. E: ὅτι ... τοὺς ἀγαθοὺς ἄνδρας δεῖ ὠφελίμους εἶναι cet. Pol. III. 386. B: ὡς οὔτ' ἀληθῆ λέγοντας οὔτ' ὠφέλιμα τοῖς μέλλουσι μαχίμοις ἔσεσθαι. Charm. 164. B: ὠφέλιμα ... ποιεῖν. Hipp. mai. 284. E: τὸ ὠφελιμώτερον νομιμώτερον ἡγοῦνται cet. 285. A: ὅτι τὰ ὠφελιμώτερα νομιμώτερά ἐστι. Pol. V. 461. A: ἐξ ὠφελίμων ὠφελιμωτέρους ἀεὶ τοὺς ἐκγόνους γίγνεσθαι. Theaet. 179. A: τοῦ ὠφελιμωτάτου ἀποτυγχάνειν. Phil. 11. C: ὠφελιμώτατον ἁπάντων εἶναι πᾶσι τοῖς οὖσί τε καὶ ἐσομένοις. Pol. V. 458. E: εἶεν δ' ἂν ἱεροὶ (γάμοι) οἱ ὠφελιμώτατοι. 459. A. Clit. 408. C: προτρεπτικωτάτους τε γὰρ ἡγοῦμαι καὶ ὠφελιμωτάτους (τούτους τοὺς λόγους).

ὠφελίμως, *utiliter, commode.* Prot. 332. A: ὅταν πράττωσιν ἄνθρωποι ὀρθῶς τε καὶ ὠφελίμως. Gorg. 470. A: τὸ ὠφελίμως πράττειν. Pol. VII. 529. D: εἰ μέλλομεν ὠφελίμως πρὸς ἃ λέγομεν μαθήσεσθαι. Alc. II. 146. C: ὠφελίμως καὶ λυσιτελούντως. Charm. 163. C: τὰ ... καλῶς τε καὶ ὠφελίμως ποιούμενα ἔργα. 164. B: ὅταν τε ὠφελίμως ἰᾶται καὶ ὅταν μή. Ib. ὠφελίμως πράξας ἢ βλαβερῶς. C. Lys. 221. B.

ὠφελῶ, *iuvo, adiuvo, prosum*; pass. verti potest germ. gewinnen. Soph. 227. A: εἰ τὸ μὲν σμικρά, τὸ δὲ μεγάλα ἡμᾶς ὠφελεῖ καθαίρον. Pol. I. 346. D: ὠφελεῖ ἐκεῖνο ἐφ' ᾧ τέτακται. Men. 87. E. Pol. VIII. 558. E: ὅσαι ἀποτελούμεναι ὠφελοῦσιν ἡμᾶς. Legg. VII. 819. C. Theag. 130. E. Legg. XI. 920. E: ὠφελοῖ. Charm. 169. B. Legg. IX. 862. E: (ὡς) τούς τε ἄλλους ἂν διπλῇ ὠφελοῖεν ἀπαλλαττόμενοι τοῦ βίου. VI. 763. D: (ὅπως) κοσμιῇ τε ἅμα καὶ ὠφελῇ τὴν πόλιν. Phaed. 107. D: ἃ ... λέγεται μέγιστα ὠφελεῖν ἢ βλάπτειν τὸν τελευτήσαντα. Pol. I. 332. E: φίλους ὠφελεῖν καὶ ἐχθροὺς βλάπτειν. 334. C. VII. 520. A: ἣν (ὠφέλειαν) ἂν ἕκαστοι τὸ κοινὸν δυνατοὶ ὦσιν ὠφελεῖν. Hipp. mai. 281. B: ἔτι πλείω ὠφελεῖν ὧν λαμβάνεις. Pol. I. 347. D: ἄλλον ὠφελῶν. Phil. 58. C: πλεῖστα ὠφελοῦσα ἡμᾶς.

Euthyd. 292. B: *εἴπερ ἔμελλεν αὕτη εἶναι ἡ ὠφελοῦσά τε καὶ εὐδαίμονας ποιοῦσα.* Legg. III. 696. E: *τὸ ... ἄλλων πλεῖστα ἡμᾶς ὠφελοῦν.* Pol. X. 608. E: *τὸ δὲ σῶζον καὶ ὠφελοῦν τὸ ἀγαθόν (εἶναι).* Apol. 24. E: *πολλὴν ἀφθονίαν τῶν ὠφελούντων.* Gorg. 511. E: *οὔστινάς τε ὠφέλησε τῶν συμπλεόντων.* 520. B: *ὅτι οὐδὲν ὠφελήκασιν οὓς φασιν ὠφελεῖν.* Pol. X. 599. E: *ὠφεληκέναι.* Apol. 31. D: *ὠφελήκη* (sic Cl. a pr. m. Vulgo *ὠφελήκειν*). Theag. 126. D: *ὠφελῆσαι.* 127. D. Ep. V. 322. A: *ἐκεῖνον πλεῖστα ὠφελήσεις.* Legg. VII. 820. D: *ὠφελήσει.* Charm. 175. E. Theag. 127. D: *ὠφελήσειν.* Pass. Ep. III. 315. E: *εἰ μέν τι διὰ τοὺς λόγους τούτους ὠφελῇ* (al. *ὠφελεῖ*). XIII. 360. B: *ἤ που πολλὰ ... εἰς σοφίαν ὠφελῇ* (Par. Z. *ὠφελεῖ*) *ὑπὸ Πλάτωνος.* Pol. I. 346. D: *ἔσθ' ὅ τι ὠφελεῖται ὁ δημιουργὸς ἀπὸ τῆς τέχνης;* Men. 88. B. Pol. I. 346. C: *ἥντινα ... ὠφέλειαν κοινῇ ὠφελοῦνται πάντες οἱ δημιουργοί.* Euth. 13. B: *ὅτι οἱ ἵπποι ... ὠφελοῦνται καὶ βελτίους γίγνονται.* 15. A: *τί ὠφελοῦνται;* Theag. 129. E: *ὠφελοῦνται ... οὐδὲν συνόντες.* Hipp. mai. 304. B: *οὐδὲν γὰρ ἄτοπον εἰ ὠφελοίμην.* Euthyd. 280. C: *ἔσθ' ὅ τι ὠφελοίμεθ' ἄν;* Pol. III. 401. C: *ἵν' ... οἱ νέοι ἀπὸ παντὸς ὠφελῶνται.* Phaedr. 232. D: *ὑπὸ τῶν συνόντων ... ὠφελεῖσθαι (ἡγούμενοι).* Conv. 173. C. Pol. I. 347. D: *τὸ ὠφελεῖσθαι ... ὑπ' ἄλλου.* II. 362. B. Apol. 25. D. Gorg. 505. C: *οὐχ ὑπομένει ὠφελούμενος.* 525. D: *ὠφελούμενοι.* Pol. II. 380. B: *(ὡς) διδόντες ... δίκην ὠφελοῦντο ὑπὸ τοῦ θεοῦ.* Gorg. 512. A: *οὐδὲν ὑπ' αὐτοῦ ὠφέλῃται.* Hipp. mai. 304. E: *ἐγὼ οὖν μοι δοκῶ ... ὠφελῆσθαι ἀπὸ τῆς ἀμφοτέρων ὑμῶν ὁμιλίας.* Prot. 314. B: *ἢ βεβλαμμένον ἢ ὠφεληµένον.* Ep. XIII. 360. B: *δι' αὐτὸ τοῦτο εὐθὺς ὠφελήθην.* Legg. XI. 913. B: *οὐ γάρ ποτε τοσοῦτον εἰς χρημάτων ὠφεληθείην ἂν κτῆσιν ἀνελών, ὅσον* cet. Riv. 132. D: *ἵνα καὶ εἴ τι δυναίμην παρ' αὐτοῦ ὠφεληθείην.* Eryx. 395. D: *μήτ' ἂν ὠφεληθείη μηδὲν ἀπ' αὐτῶν.* Hipp. min. 369. E: *ἵνα μαθών τι ὠφεληθῶ.* Pol. VII. 526. B: *κἂν μηδὲν ἄλλο ὠφεληθῶσιν.* Theag. 127. D: *εἴπερ οἴει ὑπ' ἐμοῦ μάλιστ' ἂν σοι τοῦτον ὠφεληθῆναι.* 129. E. Legg. II. 671. E: *ὠφεληθέντες.* Pol. I. 343. B: *ὅθεν αὐτοὶ ὠφελήσονται* (ita Par. A. c. al. Vulgo *ὠφεληθήσονται*). Theag. 128. E: *γυμνασάμενός γε τοῦτον τὸν χρόνον ὠφεληθήσομαι.* Hipp. mai. 285. B: *εἴπερ τῷ ὄντι ὑπὸ σοῦ πλείω ὠφεληθήσονται.*

ὠχρός, ά, όν, pallidus. Tim. 68. C: *τὸ δὲ ὠχρὸν (γίγνεται) λευκοῦ ξανθῷ μεμιγμένου.*

ὠχρότης, ή, pallor. Pol. V. 474. E: *ἐραστοῦ ... εὐχερῶς φέροντος τὴν ὠχρότητα.*

ὤψ, ὁ, visus, oculus. Crat. 409. C: *ὅτι τοὺς ὤπας* (Cl. c. al. *τὰ ὤπα*) *ἀναστρέφει.*



3 2044 052 757 960



3 2044 052 757 960

3 2044 052 757 960